On the Composition of Drugs by Places: Book 4 by Galen of Pergamon

12.696 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Δ.*

Οὐκ ἄλλη μέν τίς ἐστι τῆς συνθέσεως αὐτῶν ἡ μέθοδος, ἄλλη δὲ τῆς χρήσεως. αὕτη γὰρ ἡ σύνθεσις, ὡς πρὸς τὴν χρῆσιν ἀναφερομένη γίγνεται, σκοπὸν ἐχόντων τῶν συντιθέντων τὰ φάρμακα τὴν ἐκ τῆς χρήσεως αὐτῶν ὠφέλειαν. ὥσπερ δ' ἐν τοῖς ἄλλοις, οὕτω κἀν τούτοις ἔνιοι μὲν ἄνευ διορισμοῦ γεγράφασι τὰς χρήσεις τῶν φαρμάκων, οἷον ὅτι
12.697 πρὸς ὀδύνην ἐπιτήδειόν ἐστιν, οὐκ ἔτι προσθέντες ἐπὶ τίνι διαθέσει τῆς ὀδύνης γινομένης. ἔνιοι δὲ καὶ τὰς διαθέσεις ἔγραψαν, οἱ μὲν ἐμπειρικώτερον, οἱ δὲ λογικώτερον· ἐμπειρικώτερον μὲν ὅσοι τοῖς φαινομένοις ἐναργῶς κατὰ τοὺς ὀφθαλμοὺς σημείοις τὸν διορισμὸν ἐποιήσαντο, λογικώτερον δὲ ὅσοι τοῖς ἀμυδρῶς φαινομένοις ἢ μηδ' ὅλως φαινομένοις. ἐναργῶς μὲν γὰρ φαίνεται ῥεῦμα πολὺ καὶ ὀλίγον, ἄδηκτόν τε καὶ δακνῶδες ἔρευθός τε πλέον ἢ ἔλαττον, ὥσπερ γε καὶ φλέβες ὀλίγου τε καὶ πολλοῦ πλήρεις αἵματος, ὅ τε τῆς φλεγμονῆς ὄγκος ἐλάττων ἢ μείζων, ὥσπερ καὶ αἱ ποικιλίαι τῶν παρὰ φύσιν χρωμάτων, αἵ τε διεξιοῦσαι λῆμαι πλείους ἢ ἐλάττους ἢ μικρότεραι ἢ μείζους. φαίνονται δ' ἐναργῶς ἡμῖν καὶ αἱ γινόμεναι τραχύτητες ἐν τοῖς βλεφάροις τῶν ὀφθαλμῶν. τί δὲ δεῖ λέγειν, ὅτι καὶ τὰ ἕλκη καὶ αἱ φλύκταιναι κατά τε τοὺς τόπους καὶ τὰ μεγέθη διαφορὰν οὐκ ὀλίγην ἔχουσι καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, καὶ καθ' ἕτερόν γε τρόπον ἐκ τῶν φαινομένων ἐναργῶς εἰσι καὶ αἱ ὀδύναι. διαφέρουσι γὰρ οὐδὲν, ἄν θ'
12.698 ἡμῖν ἄν τε τοῖς κάμνουσι φαίνωνται. καὶ γὰρ ὅτι ἀλγοῦσι καὶ ὅπως ἀλγοῦσι δῆλον, ὅτι μετὰ θλίψεως ἢ τάσεως ἢ σφηνώσεως ἢ διαβρώσεως ἤ τινων σφυγμῶν ἀλγοῦσιν, ἡμῖν σαφῶς ἐνδείκνυται. οὐ φαίνονται δὲ οἱ τοιοῦτοι διορισμοὶ, καθάπερ ἔνιοι γράφουσι, πρὸς ῥεῦμα. τὸ δ' ἀπὸ τῶν ἔνδον τοῦ κρανίου πρὸς ῥεῦμα τὸ ἀπὸ τῶν ἐκτὸς ἢ νὴ Δία τὸ ἀπὸ τῶν ἀρτηριῶν ἢ τῶν φλεβῶν χορηγούμενον. ὅταν τε λέγωσί τινες ἔντασιν ἢ σφήνωσιν ἐν τῷ βάθει τῶν ὀφθαλμῶν εἶναι χυμῶν παχέων ἢ γλίσχρων ἢ πολλῶν, οὐδὲν τούτων σύμπτωμα βαρύνει τοὺς κάμνοντας, ὡς ὀδύνη

σφοδρὰ καθ᾽ ὁτιοῦν μόριον, οὐ γὰρ δὴ κατ᾽ ὀφθαλμούς γε μόνους γινομένη, ὥστε καὶ ἀποθανεῖν εἵλοντό τινες, ἄμεινον εἶναι τοῦτο παθεῖν ἡγησάμενοι τοῦ δι᾽ ὅλης ἡμέρας ἀνέχεσθαι τῆς ὀδύνης. ἐμοὶ δὲ ἐν ἄλλοις τέ τισι καὶ τῷ δωδεκάτῳ τῆς θεραπευτικῆς μεθόδου γέγραπται σαφῶς καθόλου περί τε τῆς διαφορᾶς τῶν διαθέσεων ἐφ᾽ αἷς ὀδυνῶνται σφοδρῶς ἥ τε αἰτία ἑκάστης αὐτῶν. γέγραπται δὲ κἀν τῷ τρισκαιδεκάτῳ
12.699 τῆς θεραπευτικῆς μεθόδου πάντα ὅσα γε χρὴ περὶ τῶν ἐν ὀφθαλμοῖς διαθέσεων ἐπίστασθαι τὸν ἰατρὸν, εἰς τὰς ἰάσεις αὐτῶν ἀναγκαῖα. λεχθήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις βραχέσιν ὅσον αὐτῶν εἰς τὰ παρόντα χρήσιμον ὑπάρχει, τουτέστιν ὅσα συνῆπται τῇ τῶν ὑλῶν διδασκαλίᾳ. καὶ γὰρ ὀποὶ καὶ χυμοὶ καὶ σπέρματα καὶ καρποὶ καὶ μόρια φυτῶν ἐμβάλλεται ταῖς ὀφθαλμικαῖς δυνάμεσιν, ὥσπερ γε καὶ τῶν μεταλλικῶν ὀνομαζομένων οὐκ ὀλίγα, τὰ μὲν ἐσχάτως αὐστηρὰ καὶ στρυφνὰ καὶ δριμέα, τὰ δὲ μετριώτερα μὲν τούτων, ὅμως δ᾽ οὖν ἰσχυρὰ, καθάπερ γε καὶ ἀδηκτότατά τινα ταῖς πλύσεσι γεγονότα.

Περὶ ἀδήκτων φαρμάκων. Πομφόλυξ οὖν πεπλυμμένος οὐδενὸς ἀπολείπεται τῶν ἀδηκτοτάτων φαρμάκων, καὶ διὰ τοῦτο αὐτῷ χρώμεθα πρός τε τὰ λεπτὰ καὶ δριμέα ῥεύματα προκεκενωμένης δηλονότι τῆς κεφαλῆς ἅμα τῷ παντὶ σώματι· τὸ μὲν οὖν ὅλον σῶμα πρόδηλον ὅτι διὰ
12.700 φλεβοτομίας τε καὶ καθάρσεως ἐκκενοῦμεν, ἀποφλεγματισμοῖς δὲ τὴν κεφαλήν. δύναται γὰρ ὁ πεπλυμμένος πομφόλυξ, ὥσπερ καὶ τὸ σπόδιον καὶ τὸ ἄμυλον ἅμα μὲν καὶ ξηραίνειν μετρίως ὑγρότητας, ἅμα δὲ καὶ κωλῦσαι κενοῦσθαι διὰ τῶν χιτώνων τὴν ἐν τοῖς τελείοις ἀγγείοις αὐτῶν περιεχομένην ὑγρότητα περιττὴν, ὡς ὅταν γε πρὶν κεκενῶσθαι τὴν κεφαλὴν, ἐπιρρεόντων ἔτι τοῖς ὀφθαλμοῖς ὑγρῶν, ἐμφρακτικοῖς χρήσαιτό τις φαρμάκοις, ὀδύνην τε σφοδρὰν ἐργάσεται διατεινομένων τῶν χιτώνων καὶ ὑπὸ τοῦ πλήθους τῶν περιρρεόντων ὑγρῶν καί ποτε ῥῆξιν ἢ διάβρωσιν αὐτῶν ἐμποιεῖ. ἐκ τοῦ αὐτοῦ δὲ γένους ἐστὶ τοῖς εἰρημένοις φαρμάκοις ὑπόλεπτον ὑγρὸν τὸ ἐν τοῖς ὠοῖς, ἔχον ἐκ περιττοῦ τὸ ἀποπλύνειν τὰς ὑγρότητας, ἐπαλείφειν τε τὰ τραχυνθέντα. τὸ δὲ ἐμφράττεσθαι τοῖς κατὰ λεπτὸν πόροις ὁμοίως ἐκείνοις οὐκ ἔχει, καθάπερ οὐδὲ τὸ ξηραίνειν. ὁ μέντοι τῆς τήλεως χυλὸς ὅσον μὲν ἐπὶ τῇ γλισχρότητι παραπλήσιός ἐστι τῇ λευκῇ τῶν ὠῶν ὑγρότητι,

διαφορητικῆς δέ ἐστι δυνάμεως, ὥσπερ δὴ καὶ μετρίως θερμαντικῆς, καὶ διὰ τοῦτο πολλὰς τῶν ὀδυνῶν εἴωθε πραΰνειν.

12.701 Περὶ τῶν δριμέων. Ἐναντιωτάτη δὲ τῇ τούτων ὕλῃ κατὰ γένος ἐστὶν ἡ τῶν δριμέων ὀπῶν, οἷον τοῦ τε Κυρηναίου καὶ Μηδικοῦ καὶ σαγαπηνοῦ καὶ εὐφορβίου καὶ ἁπλῶς εἰπεῖν ἡ τῶν θερμαινόντων σφοδρῶς ἄνευ τοῦ τραχύνειν οὐ μόνον ἐν ὀποῖς, ἀλλὰ καὶ ἐν χυλοῖς καὶ ἐν σπέρμασι καὶ ἄνθεσι καὶ καρποῖς φυτῶν περιεχομένη.

Περὶ τῶν ῥυπτικῶν. Τρίτη δὲ ἐπὶ ταῖς εἰρημέναις ἐστὶν ἰσχυρὰ δύναμις ἡ τῶν ῥυπτικῶν φαρμάκων, ὁποία χαλκοῦ τε λεπίς ἐστι καὶ ἡ κεκαυμένη χαλκῖτις, ὅ τε κεκαυμένος χαλκός, ὥσπερ δὴ καὶ τὸ ἄνθος αὐτοῦ καὶ τὸ μίσυ καὶ τὸ σῶρυ καὶ τὸ στίμμι.

Περὶ τῶν σηπτικῶν. Καὶ παρακείμενον ἄλλο γένος τούτοις ἐστὶ τὸ τῶν σηπτικῶν, ὁποῖόν ἐστιν ἀρσενικόν τε καὶ σανδαράχη τό τε τῆς Ἀσίας πέτρας ἄνθος ἐπ᾽ ὀλίγον δὲ τῆς τοιαύτης δυνάμεως καὶ τῷ μίσει μέτεστιν.

Περὶ τῶν στυφόντων. Ἄλλο δὲ γένος ἐστὶ φαρμάκων εἰς τὰς ὀφθαλμικὰς δυνάμεις ἐμβαλλομένων ὅσα στύφειν πέφυκε. τὰ μὲν οὖν μετρίως τοιαῦτα τὰς ἐπιρροὰς ἀποκρούεται, τὰ δὲ σφοδρὰ πλέον ὀδυνᾷ,
12.702 τραχύνοντα τοὺς χιτῶνας ἢ τὴν τῶν ἐπιρρεόντων ὁρμὴν ἀναστέλλει. μίγνυται δέ ποτε χρησίμως αὐτῶν ὀλίγον ταῖς καλουμέναις ὀξυδερκέσι δυνάμεσι συνάγοντα καὶ σφίγγοντα τὴν οὐσίαν τῶν ὀφθαλμῶν. τὰ δὲ μετρίως στύφοντα χρησιμώτατα μέν ἐστι ταῖς καλουμέναις ὀφθαλμίαις, χρήσιμα δὲ καὶ ταῖς ἄλλαις σχεδὸν ἁπάσαις διαθέσεσιν ἑλκῶν τε καὶ φλυκταινῶν καὶ ῥευμάτων. ἔστι δὲ τοιαῦτα ῥόδων φύλλα καὶ ἄνθη καὶ χυλὸς ἐρείκης τε καρπὸς, ὅ τε τῆς νάρδου στάχυς, ἔτι τε τὸ τοῦ μαλαβάθρου φύλλον, ὅ τε κρόκος καὶ τὸ λύκιον, ἥ θ᾽ ὑποκυστὶς ὀνομαζομένη. σφοδροτέρας δὲ τούτων στύψεως ἥ τε ἀκακία μετέχει καὶ τὸ ὀμφάκινον τοῦ γένους τῶν χυλῶν ὄντα καὶ αὐτὰ καὶ τὸ βαλαύστιόν τε καὶ οἱ κύτινοι καὶ αἱ κηκίδες αἱ ὀμφακίτιδες τοῦ γένους εἰσὶ τῶν ἱκανῶς στυφόντων.

Περὶ πεπτικῶν. Πεπτικὰ δὲ φλεγμονῶν τε καὶ τῶν ἄλλων διαθέσεών ἐστι φάρμακα, σμύρνα καὶ κρόκος καὶ καστόριον καὶ λιβανωτὸς, ὅ τε τῆς

12.703 τήλεως ἐψηθείσης χυλὸς, ἅπερ καὶ διαφορεῖν πέφυκε, καὶ μάλιστα ἡ σμύρνα. τοιαύτη μέν ἐστιν ἡ τῶν ὀφθαλμικῶν ὕλη, καὶ ὅσοι γε φύσει συνετοὶ τυγχάνουσιν ὄντες, ἐγυμνάσαντό τε τὸν λογισμὸν, οὐδὲν ἔτι δέονται τῆς παρ' ἐμοῦ διδασκαλίας, αὐτοὶ δυνάμενοι πρὸς ἕκαστον πάθημα τῶν ἐν ὀφθαλμοῖς γινομένων ἐπιτήδειον συντιθέναι φάρμακον. ἐπειδὴ δὲ ὀλίγοι μέν εἰσι τοιοῦτοι, στοχάζεσθαι δὲ χρὴ καὶ τῆς τῶν πολλῶν ὠφελείας, ἄμεινον ἔνδοξέ μοι τὸν περὶ συνθέσεως αὐτῶν λόγον ὁλοκλήρως διελθεῖν, ἐπαναλαβόντι πρότερον ἕνεκα συνόψεως ὧν ἐμνημόνευσα φαρμάκων ἑκάστου, τὴν κοινὴν κατὰ γένος δύναμιν, εἰρημένην μὲν καθόλου κατὰ τὸ πέμπτον ὑπόμνημα τῆς τῶν ἁπλῶν φαρμάκων πραγματείας καὶ διὰ τῶν ἐφεξῆς δὲ κατὰ μέρος ἐν ἓξ βιβλίοις ἄχρι τοῦ τελευταίου. χρήσομαι δὲ ταῖς προσηγορίαις τῶν ἐν τοῖς φαρμάκοις δυνάμεων, ἃς ἐθέμην ἐν τῇ προειρημένῃ πραγματείᾳ ἕνεκα σαφηνείας, τινὰ μὲν εἶναι λέγων γεώδη ταῖς οὐσίαις, ἄνευ ψύξεως ἐπιφανοῦς ἢ θερμασίας ἐν τῷ μέσῳ πως τούτων καθεστηκότα, καὶ
12.704 τούτων αὐτῶν ἔνια μὲν βραχύ τι ψύξεως ἢ θερμασίας μετέχοντα, τινὰ δὲ ὅλως οὐδεμίαν ἐμφαίνοντα τοιαύτην δύναμιν. ὅλον δ' οὖν τὸ γένος αὐτῶν ἐμπλαστικῶν φαρμάκων ὠνόμασα, δύναμιν ἐναντίαν ἐχόντων τοῖς ἐκφρακτικοῖς, ὁποῖος ὅ τε Σάμιος ἀστήρ ἐστι, λεπτομερέστερος ὢν τῆς ἁπλῆς οὕτως ὀνομαζομένης Σαμίας γῆς, ὅ τε πεπλυμμένος πομφόλυξ, ὥσπερ γε καὶ ἡ σποδὸς αὐτοῦ πλυνθεῖσα καὶ ἡ καδμεία κεκαυμένη καὶ πεπλυμμένη. δοκεῖ δέ μοι αὐτῇ μὲν ἔτι βραχύ τι ῥυπτικὸν ἐνυπάρχειν, ἐάν τε μετὰ τὴν καῦσιν, ἐάν τε χωρὶς ταύτης πλυνθῇ. τῇ πομφόλυγι δὲ καὶ τῷ σποδίῳ βραχύ τι στυπτικὸν, ὥσπερ γε καὶ τῷ μολύβδῳ μετὰ τὸ καυθῆναι καὶ πλυνθῆναι. καὶ γὰρ καὶ τοῦτο τὸ φάρμακον ἀδηκτότατον μέν ἐστιν, ἔχει δὲ βραχύ τι στύψεως. εἴτε δὲ ἀρσενικῶς καλεῖν ἐθέλοι τις εἴτε θηλυκῶς τὴν πομφόλυγα, διήνεγκεν οὐδέν· ὥσπερ γε καὶ τὸ ἄμυλον, ὃ καὶ αὐτὸ πλυνθὲν ἀκριβῶς ἐστιν ἀδηκτότατόν τε καὶ μέσον, ὡς μήτε στύψιν ἔχειν μήτε δριμύτητα, τουτέστι μήτε ψύξεως μήτε θερμότητος
12.705 μετέχειν. καὶ τὸ ψιμύθιον δὲ πλυνθὲν ἔγγιστα τῇ δυνάμει τοῦ κεκαυμένου καὶ πεπλυμμένου μολύβδου γίνεται, σαφές τε διὰ τῆς στύψεως ἐνδεικνύμενον γνώρισμα τελέως ἄποιον, ὡς πρὸς τὴν γεῦσίν τε καὶ ὄσφρησιν φαινόμενον τῆς τε ἀμύλου καὶ Σαμίου ἀστέρος. ἅπαν δ'

οὖν τὸ τῶν τοιούτων γένος φαρμάκων, ἐάν τε βραχεῖαν ἐμφαίνῃ ποιότητα κατὰ γεῦσιν ἢ ὀσμὴν, ἐάν τε μηδ' ὅλως ἐμφαίνῃ, παραπλησίως τοῖς καθαρωτάτοις ὕδασιν ἄποιον καλεῖται, καὶ μόνον τῷ γεώδει τῆς οὐσίας ξηραίνειν πέφυκε μετρίως. διὸ καὶ χρόνῳ πλέονι τὴν ἀφ' ἑαυτῶν ὠφέλειαν αἰσθητὴν ἐργάζεται, κατὰ τὰς πρώτας ἡμέρας οὐδὲν ὀνινάναι δοκοῦντα. προσφερόμενα δ' ὅμως ὑπὸ τῶν ἰατρῶν ὡς ἀδηκτότατα, κατὰ τὰς δυσιάτους διαθέσεις, ἐν αἷς ἕλκος ἐστὶν ἤτοι μόνον ἢ καὶ μετὰ διαβρώσεως τοῦ τε κερατοειδοῦς χιτῶνος καὶ προπτώσεως τοῦ ῥαγοειδοῦς, ἐκρεόντων ἰχώρων δακνωδεστάτων. ἐπὶ τούτων γὰρ οὐδὲν τῶν ἄλλων φαρμάκων ἁρμόττειν δύναται, τῶν μὲν στυφόντων κατεχόντων τοὺς ἐκρέοντας ἰχῶρας καὶ κατὰ τοῦτο τὴν ἐκ τῆς δήξεως
12.706 αὐτῶν ὀδύνην ἐπιτεινόντων, τῶν δὲ δριμέων συναυξανόντων τὴν διάθεσιν, ἐάν τε ἐν τοῖς ὀφθαλμοῖς ᾖ μόνοις εἰς καχεξίαν τοιαύτην ἀφιγμένων τῶν μορίων ὡς διαφθείρειν τὸ ἐπιρρέον, ἐάν τε καὶ αὐτὸ τὸ ἐπιρρέον μοχθηρὸν ᾖ, ἢ διὰ τὴν κεφαλὴν μόνην ἢ καὶ ὅλον τὸ σῶμα τοιοῦτον ὑπάρχον, ὅθεν καὶ προπαρασκευάζομεν εἰς τὴν ἴασιν ἐπιτήδειον τὸ πεπονθὸς μόριον, ὅλου τε τοῦ σώματος ταῖς καθάρσεσι καὶ ταῖς ἀντισπάσεσι, πρώταις μὲν ταῖς κάτω τοῦ σώματος, ἔπειτα δὲ καὶ ταῖς ἐπὶ τὸ ἰνίον τε καὶ τὸ δέρμα τῆς κεφαλῆς. χρώμεθα δὲ καὶ ἀρτηριοτομίαις ἐνίοτε τέμνοντες τὰς ὀπίσω τῆς κεφαλῆς περὶ τὰ ὦτα τεταμένας ἀρτηρίας, ἐκκόπτοντές τε μόριον τῶν ἐν τοῖς κροτάφοις, ὡς μόνον ἡμᾶς ἔτι θεραπεύειν τὴν ἐν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν γεγενημένην διάθεσιν, ἐφ' ἧς καὶ τὸ διὰ τῶν φλεβῶν ἐπ' αὐτοὺς παραγινόμενον αἷμα χρηστὸν διαφθείρεται. πρὸς ταύτας οὖν τὰς διαθέσεις ἁρμόττειν μόνας φαίνεται τὸ τῶν προειρημένων φαρμάκων γένος, ἀδήκτως ξηραῖνον τὴν ἐν τῷ πεπονθότι μορίῳ κακοχυμίαν, ἥτις, ὡς ἐλέχθη, διαφθείρει τὸ ἐπιρρέον. ἡ
12.707 μὲν γὰρ τῶν στυπτικῶν δύναμις οὔτε ξηραίνει τὴν τοιαύτην διάθεσιν, ἐπέχει τε τῶν δακνωδῶν ἰχώρων τὰς ἐκροάς. ἡ δὲ τῶν θερμῶν καὶ δριμέων οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ συναυξάνει τὴν ποιότητα τῶν δακνωδῶν χυμῶν, ἡ δὲ τῶν χαλαστικῶν τε καὶ διαφορητικῶν φαρμάκων δύναμις ἐκκενοῦν μὲν δύναται τὸ γεννώμενον, οὔτε δὲ τὸ ἡλκωμένον ἀναστρέφειν ἢ ἐπουλοῦν οὔτε τὸ προπεπτωκὸς προστέλλειν τε καὶ κατακλείειν. ὥσπερ οὐδ' ἡ τῶν πεπτικῶν, εἰ καὶ τὸ πέττειν τὰς

διαθέσεις ἀγαθὸν οὐ σμικρὸν ἔχει. κρόκος δέ ἐστιν, ὡς ἔφην, καὶ σμύρνα καὶ λιβανωτὸς ἐκ τῶν τοιούτων φαρμάκων. τί δεῖ λέγειν ἔτι περὶ τῶν ὀξείας ἢ πικρὰς ἐχόντων δυνάμεις φαρμάκων, ὡς δακνώδη τε καὶ παροξυντικὰ τῶν τοιούτων ἐστὶ διαθέσεων, ἐπὶ πλέον δ' αὐτῶν ἥκει κακίας τὰ νιτρώδη δύναμιν ἢ ἁλμυρὰν ἢ αὐστηρὰν ἔχοντα. ὑπόλοιπον οὖν ἐστι γένος ἐκθεραπεύειν δυνάμενον ἕλκη μετὰ ῥεύματος δριμέος, ὅσα διῆλθον ἀρτίως ἀδήκτων φαρμάκων, ἐν πλέονι χρόνῳ τὴν
12.708 κακοχυμίαν τοῦ πεπονθότος μορίου ἐκδαπανῶντα. καλεῖται δὲ παρὰ τῶν ἰατρῶν τὰ τοιαῦτα κολλύρια λιβιανὰ καὶ κύκνοι, διὰ μὲν τὴν χρόαν λευκὴν οὖσαν, ὡς οἱ κύκνοι, κρατοῦντος ἐν αὐτοῖς ἀμύλου τε καὶ γῆς Σαμίας καὶ ψιμυθίου τοῦ Ῥοδιακοῦ. καὶ γὰρ καὶ ἄλλως ἄριστον τοῦτο καὶ τῇ χρόᾳ λευκότερόν τε καὶ κουφότερον καὶ λεπτομερέστερον τῶν ἐν τῷ ἑτέρῳ τινὶ χωρίῳ γινομένων. ἐν οἷς δὲ ἐπικρατεῖ τὰ ἄλλα φάρμακα, τὴν χρόαν ἐργάζεται κατὰ τὴν ἑαυτῶν οὐσίαν, ὥσπερ εἴ τις τῷ λευκῷ χρώματι μίξειεν ὀλίγον κυανοῦν. ταῦτα δὲ τὰ κολλύρια διὰ τοῦτο ἀποτρίβουσί τινες ταῖς ἀκόναις ἐπιστάζοντες ἐκ τῶν τιτθῶν εὔχυμον γάλα, διότι βούλονται φυλάττεσθαι τὸ τῶν ὠῶν ἐμπλαστικόν. ἐν δὲ τῷ γάλακτι περιεχομένου τινὸς ὀρρώδους ῥυπτικοῦ, σύμμετρος ἡ χρῆσις αὐτοῦ γίνεται τῇ προκειμένῃ θεραπείᾳ. δέδεικται γὰρ ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου ῥυπτικῶν ἀδήκτων δεόμενα τὰ πληρωθησόμενα τῶν ἑλκῶν εἰ δὲ μὴ παρείη γάλα τοιοῦτον, διὰ τοῦ τῆς τήλεως ἀφεψήματος ἄμεινον ἀποτρίβειν τὰ κολλύρια, ῥυπτικὸν ἐχούσης τι καὶ ταύτης, ὃ μηδ' ὅλως μέτεστι τοῖς ὠοῖς.

12.709 Περὶ τραχωμάτων. Οὐσῶν δὲ δυσιάτων τῶν εἰρημένων διαθέσεων, ὑπερβάλλουσι χαλεπότητι προσγενόμεναι τῶν βλεφάρων αἱ τραχύτητες, ὑφ' ὧν καὶ κατὰ τὰς ὀφθαλμίας οἱ χιτῶνες τῶν ὀφθαλμῶν ὀδυνῶνται κοπτόμενοι. ἀλλ' ἐπ' ἐκείνων μὲν τολμῶμεν τοῖς ἰδίοις τῆς φλεγμονῆς φαρμάκοις μιγνύναι τι βραχὺ τῶν ῥυπτικῶν, ὁποῖόν ἐστι τὸ δι' οἴνου τραχωματικὸν κολλύριον, ὡς καταστεῖλαι μὲν πρῶτον ὅσα τοῖς βλεφάροις ἐπετράφη, ἀφλεγμαντοτέρων δὲ γενομένων τῶν κατὰ τῶν ὀφθαλμῶν ἀπορρύψαι τὰς τραχύτητας. ἐπὶ δὲ τῶν ἕλκους ἐχόντων μετὰ ῥεύματος δακνώδους οὐχ οἷόν τε τοιούτῳ χρήσασθαι φαρμάκῳ, διαβρωθήσεται γὰρ ἐπὶ πλέον ὁ κερατοειδὴς ἥ τε τοῦ ῥαγοειδοῦς

πρόπτωσις ἔσται μείζων, ὀδύνη τε σφοδρὰ καταλήψεται τὸν ἄνθρωπον, ἐπιταθήσεται δὲ καὶ τὸ κακόηθες ῥεῦμα. καταστάντες οὖν εἰς ἀπορίαν τῆς τοιαύτης ἐπιπλοκῆς τῶν παθῶν οἱ ἰατροὶ μόνην ἐξευρήκασι βοήθειαν, ὡς ἐν ἀπόροις ἐκστρέφοντες τὰ βλέφαρα διαρρύπτειν αὐτὰ καὶ ἀποσμᾷν ἄνευ φαρμάκων, ἔνιοι μὲν αὐτῷ τῷ κυαθίσκῳ τῆς σμίλης ἐπιπολῆς
12.710 ἀποξύοντες, εἶτα σπόγγῳ μαλακῷ τὸ ἀπορρέον ἐκλαμβάνοντες, προστέλλοντές τε τὰ βλέφαρα τὸ λοιπὸν τῆς τραχύτητος. ἔνιοι δὲ καὶ δέρματα θαλαττίων ζώων τινῶν ἐπιπολῆς τραχέα συμμέτρως εἰς τὴν τοιαύτην χρείαν παραλαμβάνουσιν. εἷς δέ τις τῶν ἐμῶν διδασκάλων καὶ κολλύριον ἐποίησε διὰ κισσήρεως καὶ τὰς τραχύτητας ἀπέρρυπτεν, ἐκστρέφων τὰ βλέφαρα. πρόδηλον δ’ ὅτι λελειῶσθαι τὴν κίσσηριν ἀκριβῶς χρὴ, κἀπειδὰν τοῦτο γένηται διὰ τραγακάνθης ἢ κόμμεως ἀναπλάττεσθαι. παυομένου δ’ ἐν τῷ χρόνῳ διὰ τῶν εἰρημένων κολλυρίων τοῦ ῥεύματος, ἐπιτολμῶμεν ἤδη τὰ ῥυπτικὰ τῶν φαρμάκων προσφέρειν τοῖς βλεφάροις ὀλίγον τι μιγνύντες αὐτῶν τὸ κατ’ ἀρχὰς, εἶτ’ ἐὰν τοῦτο φέρειν ὁ ἄνθρωπος φαίνηται κατὰ βραχὺ παροξύνοντες. ἐπειδὰν δὲ καὶ τὸ ῥεῦμα ξηρανθῇ καὶ τὰ βλέφαρα μετρίως ἔχῃ τὴν πλήρωσιν τῶν κοίλων ἑλκῶν, τῷ διὰ λιβάνου κολλυρίῳ ποιούμεθα, μιγνύντες αὐτῷ κατ’ ἀρχὰς μὲν ὀλίγιστον τοῦ δι’ οἴνου, κατὰ βραχὺ δὲ
12.711 τὴν μίξιν αὐξάνοντες, ὥστε τὰ βλέφαρα μηκέτι ἐνοχλεῖν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν, ἀκριβῶς τε τὰ ἕλκη καθαρὰ γενόμενα πληροῦσθαί τε καὶ συνουλοῦσθαι. περὶ μὲν οὖν τούτων αὐτάρκως εἴρηται, μεταβαίνειν δ’ ἤδη καιρὸς ἐπὶ τὰ λοιπὰ τῶν κατὰ τοὺς ὀφθαλμοὺς παθῶν τε καὶ φαρμάκων.

Περὶ ὀφθαλμίας. Ἄρξομαι δὲ ἀπὸ τοῦ συνεχεστάτου γινομένου πάθους ἐν τοῖς ὀφθαλμοῖς, ὃ καλοῦσιν ἰδίως ὀφθαλμίαν. ἔστι δ’, ὡς ἐμάθετε, φλεγμονὴ τοῦ περιοστίου τε καὶ περικρανίου καλουμένου χιτῶνος ἢ ὑμένος ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καλοῦσι δὲ τὸν αὐτὸν τοῦτον ἐπιπεφυκότα, διότι τοῖς ἄλλοις ὅσοι τὸν ὀφθαλμὸν αὐτὸν συνιστῶσι χιτῶσιν ἐπιπέφυκεν ἔξωθεν, σύνδεσμος ὢν καὶ αὐτὸς ὅλῳ τῷ ὀφθαλμῷ, πρὸς τὰ περικείμενα τῶν ὀστῶν, καὶ διὰ τοῦτο συνεπαίρεται τὰ πέριξ τῶν ὀφθαλμῶν ἄχρι τῶν μήλων ἐνίοτε κατὰ τὰς σφοδροτέρας ὀφθαλμίας. εὔδηλον οὖν ὅτι τὰ θεραπεύοντα φάρμακα τὸ τοιοῦτο πάθος

12.712 ὑποπεπτωκέναι μὲν χρὴ πάντως τῇ κοινῇ τῶν πάντων. θεραπείᾳ φλεγμαινόντων, προσειληφέναι δέ τι καὶ τῆς τοῦ μορίου φύσεως, εὐπάθειαν ἐξαίρετον ὑπὲρ πᾶν τὸ καθόλου τοῦ σώματος δέρμα διά τε τὴν εὐαισθησίαν καὶ τὴν ἀραιότητα τῆς οὐσίας προσειληφότος. ἀποκρουστικὰ δὲ παραληπτέον φάρμακα τὰ μὴ τραχύνοντα, τουτέστι μὴ σφοδρὰν ἔχοντα τὴν στύψιν, ἀλλὰ μετριώτερα μὲν αὐτὰ κατὰ τὴν οἰκείαν οὐσίαν, ἐπιμιξίᾳ δὲ παρηγορικῆς ὑγρότητος ἔτι καὶ μᾶλλον τοιαῦτα γινόμενα. παρηγορικὰς δὲ ὑγρότητας ἔφην ὠοῦ τε τὸ λευκὸν καὶ τὸ τῆς τήλεως ἀφέψημα καὶ πρὸς τούτοις ἔτι τὸ γάλα. προνοεῖσθαι δὲ ὅταν αὐτὸ χρὴ τοῦ νέας ἅμα καὶ εὐχύμου γυναικὸς εἶναι τοῦτο, τῶν τιτθῶν ἐκθλιβομένων ἐπὶ τὴν ἀκόνην, ἐφ᾽ ἧς ἀποτρίβεται τὸ κολλύριον, ὅπως ἔτι χλιαρὸν ἐγχέηται τοῖς ὀφθαλμοῖς. ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν σφοδρῶς ὀδυνωμένων ἢ διὰ μέγεθος φλεγμονῆς ἢ διὰ δριμύτητα τῶν ἐπιρρεόντων ὑγρῶν ἀναγκαζόμεθα πράττειν, ὡς τὸ πολὺ δ᾽ ἀρκεῖ τὸ λευκὸν τοῦ ὠοῦ μετὰ τῶν ἐπιτηδείων φαρμάκων, ἐκθεραπεύειν τὰς
12.713 ὀφθαλμίας διὰ τῶν καλουμένων μονοημέρων κολλυρίων. οὕτω γὰρ οὐκ ὀλιγάκις ταῦτα μεγάλας φλεγμονὰς ἐπράυνεν οὕτως, ὡς εἰς ἑσπέραν μὲν λουτρῷ χρήσασθαι τὸν ἄνθρωπον, ἐπὶ δὲ τῆς ὑστεραίας τῷ καλουμένῳ ναρδίνῳ κολλυρίῳ, πρὸς ἀποκατάστασίν τε καὶ τόνωσιν ὑπαλείψασθαι. παραμιγνύναι δ᾽ αὐτῷ κατὰ μὲν τὴν πρώτην ὑπάλειψιν ἐλάχιστόν τι τῶν δριμέων καὶ σταλτικῶν ὀνομαζομένων, κατὰ δὲ τὴν δευτέραν βραχύ τι τοῦδε πλεῖον. ἀρκοῦσι γὰρ αἱ δύο προσφοραὶ τοῦ φαρμάκου καί τις περίπατος οὐ πολὺς πρὸ τοῦ βαλανείου. τὰ δ᾽ οὖν μονοήμερα καλούμενα κολλύρια ἔνια μὲν ἰδίως ὀνομαζόμενα τρυγώδη πολλὴν ἔχει τὴν ἀκακίαν, ἔνια δὲ ἤτοι παντάπασιν ὀλίγην ἢ οὐδ᾽ ὅλως ἔχοντα προσείληφε τὰ μὲν τὴν λεπίδα τοῦ χαλκοῦ, τὰ δὲ τὸν κεκαυμένον χαλκὸν ὀλίγον, ἅμα πολλοῖς τοῖς ἄλλοις ὅσα στύφει μετρίως καὶ πέττει καὶ διαφορεῖ. τοιαῦτα δέ ἐστι κρόκος καὶ σμύρνα καὶ λύκιον Ἰνδικὸν, καὶ καστόριον δὲ καὶ λιβανωτὸς ἄνευ τοῦ στύφειν πέττει τε ἅμα καὶ διαφορεῖ. ἐφ᾽ ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα πλεῖστον μὲν εἶναι χρὴ
12.714 τὸ ὑγρὸν τοῦ αὐτοῦ, βραχύτατον δὲ τοῦ φαρμάκου, καὶ μάλιστα ἐὰν ἔχῃ τι τῶν μεταλλικῶν τὸ φάρμακον. ἐφ᾽ ὧν δ᾽ ἂν ὅ τε κρόκος καὶ ἡ σμύρνα καὶ τὸ καστόριον, ὅ τε λιβανωτὸς καὶ τὸ λύκιον ἐπικρατῇ βραχὺ

παχυτέρῳ χρηστέον ἐστὶ τῷ φαρμάκῳ. πυρίᾳ τε χρηστέον πάντως ἐπ᾽ αὐτοῖς διὰ σπόγγου, μετρίως μὲν ὀδυνωμένοις ἅπαξ ἢ δὶς τῆς ἡμέρας· εἰ δὲ σφοδρότερον ὀδυνώμενοι τυγχάνοιεν, ἄμεινόν ἐστι καὶ τρὶς καὶ τετράκις καὶ πλεονάκις χρῆσθαι, μάλιστα ἐν ταῖς μεγάλαις ἡμέραις ταῖς θεριναῖς. ἡ πυρία δὲ δι᾽ ἀφεψήματος γινέσθω μελιλώτου καὶ τήλεως. περὶ μὲν οὖν ὀφθαλμίας αὐτάρκως εἴρηται, περὶ δὲ τῶν ἑλκῶν ἐφεξῆς ἐρῶ.

Περὶ τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. Δεῖται μὲν καὶ ταῦτα τῆς αὐτῆς κατὰ γένος θεραπείας τοῖς ἄλλοις ἕλκεσιν, ἣν ἐπιπλεῖστον διῆλθον ἐν τῷ τρίτῳ καὶ τετάρτῳ τῆς θεραπευτικῆς μεθόδου, διὰ δὲ τὴν τοῦ μορίου φύσιν ἀδηκτότατα προσοιστέον, ἐν οἷς ἔφην εἶναι τὸ διὰ πομφόλυγος πεπλυμμένης. μίγνυνται δ᾽ αὐτοῖς καὶ χυλοί τινες οὐ μόνον ἄδηκτοι
12.715 παντάπασιν, ἀλλὰ καὶ τὰς σφοδροτάτας ὀδύνας πραΰνειν δυνάμενοι, καθάπερ ὁ τοῦ μανδραγόρου χυλός. ἔνιοι δὲ καὶ πολυγόνου χυλὸν ἔμιξαν, ὥσπερ ἕτεροι, καὶ αὐτῶν τῶν ὠῶν τὸ λευκόν. εὔδηλον δ᾽ ὅτι πλησίον ἀναπλάσεως ὄντι τῷ φαρμάκῳ τὰ τοιαῦτα μίγνυται διὰ τὸ ταχέως ὀξύνεσθαι. κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ὁ τῶν ῥόδων μίγνυται χυλός. ἡ δὲ ἰδίως ὕλη τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν εὔδηλον ὅτι καὶ αὕτη σκοπὸν ἔχει καθαρὸν φυλάττειν τὸ ἕλκος, ὡς τῆς φύσεως τῶν μορίων πληρούσης τε καὶ πρὸς οὐλὴν ἀγούσης αὐτό, καθάπερ ἐπὶ τῶν ἄλλων ἑλκῶν προείρηται. φλεγμονῆς μὲν οὖν ἔτι κατὰ τὸν ὀφθαλμὸν οὔσης ἢ καί τινος ὀδύνης, τὰ διὰ λιβανωτοῦ τε κολλύρια καὶ τῶν πεπλυμμένων μεταλλικῶν καὶ τῶν ἀδήκτων χυλῶν προσφέρεται. ῥυπαρῶν δὲ ἐν τῇ χρήσει ταύτῃ τῶν ἑλκῶν γενομένων, μίγνυσθαί τι χρὴ τῶν ῥυπτόντων, ὁποῖόν ἐστι τὸ Πακκιανὸν δι᾽ οἴνου κροκῶδες, ᾧ χρώμεθα παραμιγνύντες ἐλάχιστον αὐτοῦ τοῖς προειρημένοις φαρμάκοις. ἔχει δὲ τοῦτο πλεῖστον μὲν τὸν κρόκον, ἀφ᾽ οὗ καὶ κροκῶδες ὀνομάζεται,
12.716 μέμικται δ᾽ αὐτῷ καὶ τῶν ῥυπτόντων μεταλλικῶν ἔνια· διὸ καὶ τραχωμάτων ἐστὶ καθαιρετικὸν οὐ μόνον τῶν μικρῶν, ἀλλὰ καὶ τῶν μεγάλων, ἃ προσαγορεύουσι συκώσεις· λεπτύνει δὲ καὶ τὰ πτερύγια. περὶ μὲν οὖν τῶν τοιούτων φαρμάκων μικρὸν ὕστερον εἰρήσεται· τῶν δ᾽ ἑλκῶν ὅσα δι᾽ ἀνάβρωσιν γίνεται τοῦ κερατοειδοῦς, ὡς προκύπτειν τι καὶ τοῦ ῥαγοειδοῦς, ὅτι δὴ καὶ ταῦτα δι᾽ ἑαυτό τε καὶ τὸ προπεσὸν

ἀποκρουστικῶν τε καὶ στυπτικῶν δεῖται φαρμάκων εὔδηλόν ἐστι. πειρᾶσθαι δὲ ἐπ᾽ αὐτῶν δεῖ ἐκλέγεσθαι τὰ μηδεμίαν ἐργαζόμενα τραχύτητα. τῶν δ᾽ ἐναντίων τούτοις φαρμάκων, ὅπερ ἐστὶ τῶν διαφορητικῶν, αἱ φλύκταιναι χρῄζουσι καὶ τὸ γεννώμενόν ποτε πῦον ἔνδον τοῦ κερατοειδοῦς. τὰ μὲν οὖν πρόσφατα καὶ ἔτι φλεγμαίνοντα τοῖς διὰ σμύρνης καὶ λιβανωτοῦ καὶ κρόκου καθίσταται φαρμάκοις. τὰ χρονιώτερα δὲ καὶ τῶν διαφορητικῶν τι προσλαμβάνουσι, καθάπερ γε καὶ αἱ σκιρρούμεναι φλεγμοναὶ τῶν χιτώνων. ἐπὶ τούτων γὰρ καὶ διὰ τῶν δριμέων ὀπῶν εὐδοκιμεῖ φάρμακα τάδε· εἰς κολλυρίων εἴδη ἀναπλαττόμενα αἱ καλούμεναι πρὸς τῶν ἰατρῶν ἰδίως ἔγχρισται
12.717 δυνάμεις ὑγραὶ, ὁποίας καὶ τοῖς ἀρχομένοις ὑποχεῖσθαι σκευάζουσιν. ἐπὶ δὲ τῶν πτερυγίων τε καὶ τῶν συκώσεων, ὡς ἔφην, τὰ ῥυπτικὰ φάρμακα προσφέρεται, τὰ μὲν εἰς κολλυρίων ἰδέαν ἀναπλαττόμενα, τὰ δὲ καὶ ξηρὰ χωρὶς ἀναπλάσεως, ἐφ᾽ ὧν ἔμιξάν τινες ὀλίγον τι τῶν σηπτικῶν φαρμάκων. ἐγγὺς δὲ τούτων ἐστὶ τὰ τὰς ψωρώδεις διαθέσεις ἐν τοῖς βλεφάροις ἰώμενα, καὶ διὰ τοῦτο προσαγορευόμενα ψωρικά. πάντων δ᾽ αὐτῶν ἐστιν ἰσχυρότατα τά τε τοὺς παλαιοὺς τύλους ἐκτήκοντα καὶ τὰ καλούμενα πτερύγια θεραπεύοντα, διὰ τῶν ῥυπτικῶν τε καὶ σηπτικῶν φαρμάκων συγκείμενα.

Περὶ τῆς τῶν ὀφθαλμικῶν φαρμάκων δυνάμεως. Καί μοι σχεδὸν ἤδη τῆς ἁπάντων τῶν ἐν ὀφθαλμοῖς παθῶν τε καὶ κατὰ γένος φαρμάκων ἐξηγήσεως γενομένης, εἰρημένων δὲ καὶ τῶν κατὰ γένος ἀδήκτων φαρμάκων, ὁποῖα τὰ διὰ τῶν πεπλυμμένων μεταλλικῶν ἔφην συντίθεσθαι, βέλτιον εἶναι δοκεῖ καὶ τῶν ἄλλων ὀφθαλμικῶν φαρμάκων ἐξηγήσασθαι τὰς δυνάμεις. ἐκ τούτου γὰρ ἡγοῦμαι συνθετικωτέρους
12.718 γενέσθαι καὶ τῶν ἤδη συγκειμένων κριτικωτέρους, τοὺς ἐν αὐτοῖς γεγυμνασμένους. ἀδηκτοτάτων οὖν ὄντων ὧν εἶπον ἔμπροσθεν φαρμάκων, ἀδήκτων δὲ καὶ τῶν τριῶν ὑγρῶν, ὧν τὸ μὲν ἀφέψημα τῆς τήλεως ἦν, τὸ δὲ γάλα, τὸ δὲ τὸ ἐν τοῖς ὠοῖς ὑγρὸν τὸ λεπτὸν, ἐν τῷ γένει τούτων ἡγητέον εἶναι τό τε κόμμι καὶ τὴν τραγάκανθαν, καὶ εἰ μὴ τὰ προειρημένα τρία πρόχειρον εἶχε τὴν κτῆσίν τε καὶ χρῆσιν, ἀποβρέχοντες ἂν ἐν ὕδατι πολλῷ βραχὺ κόμμεως ἢ τραγακάνθης εἰς τὴν αὐτὴν χρείαν ἄγομεν τοῖς τρισὶν, ὡς ἀποτρίβειν τε δι᾽ αὐτῶν ἐπὶ τῆς ἰατρικῆς ἀκόνης

τὰ κολλύρια καὶ μόνοις ἐγχεομένοις, ἐκκλύζειν τοὺς ἐν τοῖς πάσχουσιν ὀφθαλμοῖς γενομένους ἰχῶρας. ἀλλὰ καὶ νῦν αὐτοῖς χρώμεθα κατὰ πάντα σχεδὸν τὰ κολλύρια. πλὴν γὰρ ὀλιγίστων ἀναλαμβάνεται πάντα μετὰ τὸ λειωθῆναι διαβεβρεγμένα συμμέτρως τοῖς φαρμάκοις τούτοις. ἓν μὲν δὴ τοῦτο γένος ἡμῖν ἀριθμείσθω φαρμάκων ὀφθαλμικῶν, ἔν τε τοῖς τρισὶν ὑγροῖς καὶ τῇ τραγακάνθῃ καὶ τῷ κόμμει καὶ τοῖς πεπλυμένοις μεταλλικοῖς. ἑτέρα δ' ἐπ' αὐτοῖς τὰ βραχεῖαν ἔχοντα δῆξιν ἐκ τοῦ
12.719 μεμίχθαι τινὰ αὐτοῖς τῶν ἐπ' ὀλίγον στυφόντων ἢ ῥυπτόντων, ὁποῖα φάρμακά ἐστι ῥόδα τε καὶ λιβανωτὸς, ὀλίγην μὲν ἐχόντων τῶν ῥόδων τὴν στύψιν, ὀλίγον δὲ καὶ τὸ ῥυπτικὸν τοῦ λιβανωτοῦ. θερμὸς δὲ συμμέτρως κατὰ τὴν δύναμιν ὁ λιβανωτὸς ὑπάρχων ἔχει τι διὰ τοῦτο πεπτικόν τε καὶ ἀνώδυνον. ἐκ τοῦ αὐτοῦ δὲ γένους αὐτῷ κατά γε τὸ πέττειν τε καὶ διαφορεῖν μετρίως ἡγητέον εἶναι τόν τε κρόκον καὶ τὴν σμύρναν, ἀλλήλων διαφέροντα τῷ τὸν μὲν στύφειν μετρίως, τὴν δὲ ἄνευ στύψεως, οὐκ ἀγεννῶς διαφορεῖν τε καὶ ξηραίνειν ὑγρότητας. γενναιότερα δὴ ταῦτα ταῖς δυνάμεσίν ἐστι τοῦ λιβανωτοῦ καὶ διὰ τοῦτο καὶ διαφορητικώτερα. τὸ ῥυπτικὸν δ' οὐκ ἔχοντα πρὸς τὴν τῶν ἑλκῶν θεραπείαν ἀπολείπονται τοῦ λιβανωτοῦ. τοῦ γένους τούτου τῶν φαρμάκων, λέγω δὲ τοῦ πεπτικοῦ τε καὶ διαφορητικοῦ, καὶ τὸ λύκιόν ἐστι καὶ τὸ καστόριον. εὔδηλον δ' ὅτι λύκιον λέγω τὸ Ἰνδικὸν, οὐ τουτὶ τὸ καὶ τοῖς παρ' ἡμῖν ἔθνεσι γινόμενον. ἐγγὺς δὲ τούτων ἥκει τῇ δυνάμει καὶ ἡ καλουμένη σαρκοκόλλα, πεπτικόν τε καὶ διαφορητικὸν οὖσα
12.720 φάρμακον· ἔτι δὲ μᾶλλον αὐτῆς ἡ χαλβάνη τὰς εἰρημένας ἔχει δυνάμεις. ἀφέψημα δὲ μελιλώτου τῷ πεπτικῷ προσείληφέ τι καὶ στυπτικὸν, ὁμογενές πως ὑπάρχον τῷ κρόκῳ. ἐμβάλλεται δ' εἰς τὰς ὀφθαλμικὰς δυνάμεις καὶ ὁ καλούμενος αἱματίτης λίθος ξηραντικὴν ὑγρῶν ἔχων δύναμιν, ὥσπερ καὶ ἡ καδμεία. πρᾳότερον δὲ αὐτῆς ἐστι φάρμακον ὁ λίθος, ὡς ἂν ἐξ ὑγρᾶς οὐσίας οὐ γεώδους ὥσπερ ἡ καδμεία τὴν γένεσιν ἐσχηκώς. δηλοῖ γὰρ αὐτοῦ τὴν φύσιν οὖσαν τοιαύτην ἡ ἐπὶ τῆς ἰατρικῆς ἀκόνης λύσις εἰς χυλὸν ἀναλυομένου κατὰ τὴν μεθ' ὑγροῦ τινος τρίψιν. καὶ κατὰ μόνας δὲ χωρὶς ὑγρότητος ἀποτριβόμενος οὐκ εἰς γεώδη θραύματα διαλύεται τῇ καδμείᾳ παραπλησίως, ἀλλ' εἰς ὁμοιομερές τε καὶ συνεχὲς αὐτῷ σῶμα. παραπλησίως αὐτῷ καὶ ὁ σχιστὸς καλούμενος λίθος

ὑπάρχων ἰσχυρότερός ἐστι τῇ δυνάμει. τὸ δὲ στίμμι καλούμενον ἄπλυτον μὲν ἰσχυρὰν ἐπιδείκνυται τὴν στυπτικὴν δύναμιν, ἐκλύεται δὲ πλυνθὲν, ὡς ἐγγὺς ἥκειν ἀδήκτου. ἰσχυροτέρας δὲ δυνάμεως ῥυπτικῆς ὅ τε
12.721 κεκαυμένος χαλκός ἐστι καὶ ἡ λεπὶς αὐτοῦ καὶ τὸ ἄνθος. οὐχ ἧττον δὲ δραστήριον, ἀλλ᾽ ἧττον ἄδηκτον ἡ κεκαυμένη χαλκῖτίς ἐστιν. εἰ δὲ καὶ πλυθείη τὰ τοιαῦτα, ῥυπτικὰ μὲν ἔτι διαμένει, τοσούτῳ δὲ ἀσθενέστερα ταῖς ἐνεργείαις, ὅσον καὶ ἀδηκτότερα γίνεται. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ τὸ μίσυ καὶ ὁ ἰὸς, ἰσχυρότατα φάρμακα τοῖς πρὸς συκώσεις καὶ τύλους ἁρμόττουσι μιγνύμενα. τινὲς δὲ αὐτοῖς ἐπέβαλον καὶ κηκίδας, σφοδρῶς στῦφον φάρμακον, ὥσπερ ἔνιοι τὸ πάντων τούτων σφοδρότατον εἰς στύψιν ἅμα δριμύτητι, καλούμενον δὲ χάλκανθον οὐδετέρως ἢ, ὡς ἔνιοι, χάλκανθος ἀρσενικῶς ἢ θηλυκῶς. εὔδηλον δ᾽ ὅτι μετριώτερον πολὺ γίνεται καυθέν τε καὶ πλυνθέν. ἐκ τῆς τοιαύτης ὕλης καὶ ἡ τοῦ στομώματός ἐστι λεπίς. ὁ δὲ τοῦ λιβανωτοῦ φλοιὸς στύφει μὲν καὶ αὐτὸς οὐκ ἀγεννῶς, ἀπολείπεται δὲ τῶν εἰρημένων ἁπάντων πάμπολυ. καὶ μέντοι καὶ τὸ μίσυ καλούμενον εἵς τε τὰς αὐτὰς διαθέσεις καὶ προσέτι τὰ ψωρώδη βλέφαρα τοῖς κολλυρίοις ἔμιξάν τινες. ἐπεὶ δὲ καὶ μάννης ἐμνημόνευσάν τινες καὶ δοκεῖ τισιν οὐδὲν διαφέρειν λιβανωτοῦ
12.722 λελειωμένου, γνωστέον ὅτι καλοῦσιν ἰδίως μάνναν τὸ ὑπόσεισμα τοῦ ὑποτεθρυμμένου κατὰ τὰ μεγάλα φορτία λιβάνου. συμφέρεται γὰρ αὐτῷ θραύσματά τινα μικρὰ λιβανωτοῦ φλοιοῦ, ὥστε διαφέρειν τοῦ λιβανωτοῦ τὸ τοιοῦτον φάρμακον τῷ προσειληφέναι βραχύ τι τῆς στύψεως. ὅσα μὲν οὖν τῶν στυφόντων ἱκανῶς γεώδη ταῖς συστάσεσίν ἐστι, τραχώματά τε καὶ συκώσεις καὶ τύλους ἐκτήκει. τὰ δὲ ἐν τῷ γένει τῶν χυλῶν ὄντα, καθάπερ ὀμφάκιόν τε καὶ ὑποκυστὶς, ἐκπλύνεται ῥᾳδίως ἐν ταῖς ὑπαλείψεσιν ἐκρέοντα μετὰ τοῦ δακρύου. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ γλαύκιον καὶ ἀκακία. ῥυπτικὰ δὲ ἀδήκτως ἐστὶν ἐλάφου κέρας καυθὲν, ὥσπερ γε καὶ ὁ τῶν αἰγῶν. εἴρηται δὲ ὅτι καὶ ὁ λιβανωτὸς ἐκ τῶν τοιούτων ἐστὶν, ἀλλ᾽ οὗτος, ὥσπερ ἐρρέθη, βραχυτάτης μετείληφε τῆς ῥυπτικῆς δυνάμεως, ἀνώδυνος τε καὶ πεπτικὸς ὑπάρχων. τὰ δὲ τῶν εἰρημένων ζώων κέρατα ῥυπτικὰ μέν ἐστιν, οὔτε δὲ ἀνώδυνον οὔτε πεπτικὸν ἔχει τι, ψυχρὰ καὶ ξηρὰ ταῖς κράσεσιν ὄντα. ῥυπτικόν δέ τι καὶ
12.723 τὸ καλούμενον Ἀρμένιον ἔχει, καθάπερ καὶ τὸ καλούμενον Ἰνδικὸν

μέλαν, καὶ διὰ τοῦτο τοῖς ἀφλεγμάντοις ἕλκεσιν ἀλύπως ὁμιλεῖ. μικτῆς δέ πώς ἐστι δυνάμεως ἡ ἀλόη, καθάπερ τὸ ῥόδον. ἔχει μὲν γάρ τι καὶ πικρὸν τὸ ῥύπτειν πεφυκὸς, ἔχει δέ τι καὶ στυπτικὸν, ὡς συνάγειν τε καὶ συνουλοῦν τὰ ἕλκη.

Τίνα πρὸς τὰς ψωρώδεις διαθέσεις ἁρμόττει. Τῶν δὲ πρὸς τὰς ψωρώδεις ἐν βλεφάροις διαθέσεις ἁρμοττόντων φαρμάκων ἅλες εἰσὶν ἀμμωνιακοὶ καὶ λίθος Ἄσιος, αὐτός τε καὶ τὸ ἄνθος αὐτοῦ, καὶ τὸ καλούμενον ψωρικὸν, οὐχ ἁπλοῦν οὐδ' αὐτοφυὲς ὂν, ἀλλ' ἔχον τινὰ σκευασίαν, ἣν καὶ Διοσκουρίδης ἔγραψε καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες, ὅσοι περὶ ὕλης ἐποιήσαντο πραγματείας. ἐπιμίγνυται δὲ τούτοις καὶ τὸ κεκαυμένον μίσυ καὶ ἡ σανδαράχη καὶ τὸ καλούμενον ἀρρενικὸν μὲν ὑπὸ τῶν παλαιῶν Ἑλλήνων, ἀρσενικὸν δὲ ὑπὸ τῶν νῦν. ἐκ δὲ τῶν ἀρωματικῶν φαρμάκων κασσία τε καὶ τὸ τοῦ μαλαβάθρου φύλλον, ἄμωμόν τε καὶ κιννάμωμον
12.724 ἔμιξάν τινες ὀφθαλμικαῖς δυνάμεσι, διαφορητικῆς μὲν ὑπάρχον δυνάμεως τὸ κιννάμωμον, τὰ δὲ ἄλλα καὶ στύψεως μετέχοντα. κοινῇ δὲ περὶ πάντων ἐγνωκέναι χρὴ τῶν ῥυπτικῶν φαρμάκων, ὅσα τε μέτρια καὶ ὅσα συκώσεις καὶ τύλους ἐκτήκει, ταῦτα πάντα καὶ πρὸς οὐλὰς παχείας ἁρμόττειν. λεπτύνει γὰρ αὐτῶν τὸ πάχος καὶ ἀπορρύπτει τῆς ἐπιπολῆς οὐσίας.

Τίνα τοῖς ἐσκιρρωμένοις βοηθεῖ. Αἱ δὲ πρὸς ἐσκιρρωμένους χιτῶνας ἁρμόττουσαι δυνάμεις, ὡς καὶ πρόσθεν ἐρρέθη, διά τε τῶν ὀπῶν συντίθενται καὶ τοῦ ἀμμωνιακοῦ θυμιάματος. μιγνυμένων δ' αὐτοῖς καὶ μετριωτέρων μὲν, οὐκ ἀντιπραττόντων δὲ τῇ δυνάμει, σμύρνης δηλονότι καὶ λιβανωτοῦ καὶ χαλβάνης, ὅσα τ' ἄλλα τοιαῦτα.

Τίνα πρὸς τοὺς ὑποχεομένους ἁρμόττει. Πρὸς δὲ τοὺς ὑποχεομένους συνετέθησάν τινες ὑπὸ τῶν ἰατρῶν δυνάμεις ἐν ὑγροῖς φαρμάκοις, πρώτη μὲν σχεδόν τι πασῶν ἡ διὰ μαράθρου χυλοῦ καὶ ὑαίνης χολῆς καὶ μέλιτος Ἀττικοῦ, οἱ δὲ καὶ αἰγείας. μετὰ ταῦτα δὲ ἄλλος ἄλλην ἔμιξε
12.725 χολὴν, ὁ μὲν ἀλεκτρυόνος, ὁ δὲ ἐχίδνης, ὁ δὲ θαλαττίας χελώνης, ὁ δὲ καλλιωνύμου. νυνὶ δὲ ἔνδοξόν ἐστι τὸ διὰ τῶν σκάρων τῆς χολῆς φάρμακον, ὥσπερ καὶ τὸ διὰ τῆς στακτῆς σμύρνης. ἐπαγγελίαι μὲν οὖν

ἁπάντων αὐτῶν εἰσι μεγάλαι. τὸ δὲ ἔργον αὐτῶν ἐνίοτε μὲν οὐδὲν, ἔστι δ' ὅτε πάνυ σπικρόν.

Περὶ τῶν χρησίμων τοῖς ὀφθαλμοῖς φαρμάκων ξηρῶν Ἐκ τῆς προγεγραμμένης ὕλης συνετέθη τοῖς ἰατροῖς φάρμακα ξηρὰ τὰ καλούμενα πρὸς αὐτῶν ἰδίως ξηροκολλύρια, τινὰ μὲν ἐκτήκοντα τύλους καὶ συκώσεις, ἀκανθίδας τε καὶ πτερύγια, τινὰ δὲ τοῖς ψωρώδεσι βλεφάροις ἁρμόττοντα καὶ τοὺς ὀνομαζομένους μίλφους ὠφελοῦντα. τῶν δριμέων δὲ κολλυρίων ἑτέραν δύναμιν ἔχοντα, διὸ καὶ καλοῦνται πρός τινων ἰατρῶν ἀποδακρυτικὰ καὶ ἀποκρουστικὰ, καθάπερ καὶ αὐτὰ τὰ κολλύρια. τούτων δὲ αὐτῶν τὰ πλεῖστα καὶ τοῖς ἀμβλυωποῦσι διὰ γῆρας ἢ πάχος ἢ ψύξιν ὑγρῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς ἢ καὶ πνεύματος
12.726 ἀχλυώδους περιουσίαν οὐ μικρῶς βοηθεῖ. ἔνια δὲ τῶν ξηρῶν φαρμάκων κωλύει συστῆναι τὸ πάθος ἐν αὐτοῖς, τὰς ἐπιρροὰς εἴργοντα δηλονότι τῶν ὑγρῶν, ἐξ ὧν εἰώθασιν οἱ ὀφθαλμοὶ κακοῦσθαι. κάλλιστον δ' αὐτῶν ἐφάνη τῇ πείρᾳ κριθὲν τὸ ὑπ' ἐμοῦ συντεθὲν, καὶ διὰ τοῦτο παρὰ πολλοῖς ὂν ἐν χρήσει σχεδὸν ἐν ἅπασι τοῖς ἔθνεσιν, ὧν ἄρχουσι Ῥωμαῖοι. καὶ πρῶτόν γε αὐτοῦ τὴν κατασκευὴν γράψω, βέλτιον ἡγούμενος εἶναι τὸ μηδ' ὅλως ἁλίσκεσθαι πάθεσι τοῦ θεραπεύεσθαι καλῶς τὰ γενέσθαι φθάσαντα. ἐπεὶ δὲ καὶ Ἀσκληπιάδης πλείστην τε καὶ καλλίστην ἔγραψεν ὕλην τῶν τε ξηρῶν καὶ τῶν ὑγρῶν καὶ τῶν κολλυρίων, ἀρξάμενος ἀπὸ τῶν ξηρῶν, κᾀγώ μοι δοκῶ πράξειν οὕτω τῇ τάξει τῆς γραφῆς ὁμοίᾳ χρησάμενος, ὥστε μετὰ τὸ προσγράψαι τὸ ἐμὸν ξηρὸν ἐφεξῆς ἅπαντα γράψαι τὰ ὑπ' Ἀσκληπιάδου κατατεταγμένα κατὰ τὸ πρῶτον βιβλίον τῶν ἐκτὸς, ὃ Μαρκέλλᾳ ἐπιγράφει. καὶ μετὰ ταῦτά γε καταπλασμάτων τῶν τοῖς ὀφθαλμοῖς ἁρμοττόντων, ἀνακολλημάτων τε καί τινων ἐπιχρίστων
12.727 φαρμάκων ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένων, ἄμεινον εἶναί μοι δοκεῖ κᾀκείνων φυλάξαντα τὴν τάξιν τῆς γραφῆς, οὕτως ἐπὶ τὴν τάξιν τῶν κολλυρίων τε καὶ τῶν ὑγρῶν φαρμάκων ἀφικέσθαι πάντα παραθέμενον, ὡς ὁ Ἀσκληπιάδης ἡρμήνευσεν αὐτοῖς τοῖς ἐκείνου ῥήμασιν.

Τὸ ὑπ' ἐμοῦ συντεθὲν εἰς ὑγείαν ὀφθαλμῶν φάρμακον ξηρόν. Χρησιμώτατον ὑγιαίνουσιν ὀφθαλμοῖς προφυλακτικὸν ἐγὼ συνέθηκα φάρμακον, ὃ πάντες ἔχουσιν ἤδη. καίεται γὰρ λίθος Φρύγιος εἰς λεπτὰ

καταθραυσθεὶς, ὡς εἶναι μείζων τοῦ καλουμένου μὲν ὑπό τινων καρύου ποντικοῦ, πρὸς ἄλλων δὲ λεπτοκαρύου. ὁ δὲ τρόπος τῆς καύσεως, ὡς κἀπὶ τῶν ἄλλων ποιούμεθα, εἰς χυτρίδιον καινὸν ἐμβάλλοντες, εἶτα περιπηλοῦντες ἔξωθεν, ἐπιτιθέντες δὲ πῶμα τετρημένον ἤτοι κατὰ μόνην τὴν κορυφὴν ἢ, ὅπερ βέλτιόν ἐστι, καὶ κατὰ ἄλλα μέρη πλείονα, πρὸς τὸ ῥᾳδίως ἀναφέρεσθαι δι' αὐτῶν τὰς λιγνυώδεις τε καὶ καπνώδεις τῶν καιομένων ἀπορροάς. ἐπειδὰν δὲ ὁ λίθος ὅλος διάπυρος γένηται, τηνικαῦτα χρὴ τὸ χυτρίδιον ἐκκενώσαντας εἰς ἀγγεῖόν τι καθαρὸν
12.728 ἐπιχεῖν βούτυρον οὐ παλαιὸν, ἀνακινοῦντα τὰ μόρια τοῦ κεκαυμένου λίθου, καὶ τοῦτο ποιεῖν ἄχρις ἂν ἅπαντα σβεσθῇ, τηνικαῦτα δὲ παύεσθαι, καὶ οὕτω πάλιν εἰς τὸ χυτρίδιον ἐμβάλλοντας αὐτὰ καίειν αὖθις, ἐνιστάντας τὸ χυτρίδιον ἄνθραξι διακεκαυμένοις, ὡς μηδὲν ἔχειν καπνῶδες, ῥιπίζειν δὲ τούτους ἕνεκα τοῦ θᾶττον γενέσθαι τὴν καῦσιν. εἶθ' ὅταν διάπυροι γενηθῶσιν οἱ λίθοι καὶ μηκέτ' ἀναφέρηται μηδεμία λιγνὺς, ἐκχέοντας πάλιν αὐτοὺς σβεννύειν οἴνῳ Φαλερίνῳ ἤ τινι τῶν κιρρῶν καὶ εὐωδῶν, οἷος ὁ Τμωλίτης, Ἀριούσιός τε καὶ Λέσβιος, εἶτα πάλιν εἰς τὸ χυτρίδιον ἐμβάλλοντας ἐκ τρίτου καίειν, κἀπειδὰν διάπυρος ὁ λίθος γένηται, σβεννύειν αὖθις μέλιτι Ἀττικῷ μὴ πολλῷ, γενήσεται γὰρ οὐ ξηρὸν τὸ φάρμακον, ἀλλ' ἔχον τι γλισχρότητος. ἔστω δέ σοι προλελειωμένα πλείοσιν ἡμέραις ἀκριβῶς, ὡς χνοώδη γεγονέναι τὰ ὑπογεγραμμένα. ♃ χαλκοῦ κεκαυμένου γο α′. ὅπερ ἐστὶ ϛ η′. πεπέρεως λευκοῦ τὸ ἴσον, φύλλου μαλαβάθρου τὸ ἴσον, στίμμεως τὸ ἡμιόλιον, ὅπερ ἐστὶ ϛ ιβ′. τούτοις μίγνυε τοῦ κεκαυμένου λίθου λίτραν α′. κἀπειδὰν
12.729 ἅπαντα καλῶς λειωθῇ καὶ μέλλῃς ἀνελέσθαι τὸ φάρμακον, ἐπέμβαλλε τοῦ Συριακοῦ ὀποβαλσάμου γο α . ὅπερ ἐστὶν αὐτῶν τὸ πᾶν ιβ . λεπτὸν δὲ καὶ διαφανὲς ἔστω κατὰ τὴν σύστασιν τὸ ὀποβάλσαμον, μὴ παχὺ, καθάπερ εἴωθεν ἐν τοῖς ἀγγείοις αὐτὸ κατὰ τὸν πυθμένα συνίστασθαι. κωλύσει γὰρ τὸ οὕτω παχὺ ξηρὸν εἶναι τὸ φάρμακον, χρῆσθαι δ' αὐτῷ δεῖ κατὰ τῶν βλεφάρων μόνον ἐπιφέροντα τὴν μήλην χωρὶς τοῦ τῶν χιτώνων αὐτῶν ἅψασθαι τοῦ ὀφθαλμοῦ. τὰ πολλὰ μὲν οὖν ἀρκεῖ κατὰ μόνου τοῦ κάτω βλεφάρου τὴν μήλην ἐπιφέρειν. οὐδὲν δὲ κωλύει καὶ τὸ ἄνω βλέφαρον ὁμοίως ὑπαλείφειν, ὅταν ἡ χρεία μείζων ᾖ τοῦ φαρμάκου, τουτέστιν ὅταν ἤδη σαφῶς ἔχῃ τινὰ ταραχὴν ὁ

ὀφθαλμὸς, οὐ μὴν περιμένειν γε χρὴ γενέσθαι τοῦτο. φθάνοντα δὲ χρῆσθαι κατὰ τὴν πρώτην αἴσθησιν τοῦ πάθους ἐν παντὶ καιρῷ τῆς ἡμέρας, εἰ καὶ πεπωκώς τις εἴη καὶ δεδειπνηκὼς, καὶ πολλάκις γε χρῆσθαι φυλαττόμενον, ὡς ἔφην, ἅπτεσθαι τῶν χιτώνων. χρὴ δὲ καὶ τὸν ὑπαλειφόμενον αὐτὸν ἀνεῳγμένα παρέχειν τὰ βλέφαρα, κἂν ὑπαλείψηται, μὴ ἐπιμύειν αὐτοῖς. τοῦτο μὲν ὑπ᾽ ἐμοῦ συνετέθη τὸ φάρμακον, οὐκ ἐπιτρέπον ὀφθαλμιάσαι τὸν καλῶς τούτῳ χρώμενον. ἐφεξῆς δὲ γράψω τὰ πρὸς διαθέσεις ἁρμόττοντα, τὴν ἀρχὴν ἀπὸ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων ποιησάμενος.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα ξηρὰ πρὸς ὀφθαλμούς. Ἐν τῷ πρώτῳ τῶν ἐκτὸς ἃ Μαρκέλλας ἐπιγράφει, γράφεται κατὰ λέξιν οὕτως. ξηρὸν ἐκ τῶν τοῦ Ἡρακλείδου ψωρικῶν πρὸς περιβεβρωμένους κανθούς. ℈ σποδίου Κυπρίας ʃ δ′. ὀμφάκου ξηροῦ ʃ β′. νάρδου τριώβολον, πεπέρεως πεφρυγμένου κόκκους ιε′. λείοις χρῶ. ψωρικὸν Αἰλίου. ℈ καδμείας ʃ δ′. χαλκοῦ κεκαυμένου ʃ β′. τρῖβε μετ᾽ ὄξους ἐν ἡλίῳ καὶ ξηράνας καὶ διαλύσας, ἀνελόμενος χρῶ. ἄλλο. ℈ καδμείας ʃ α′. χαλκοῦ κεκαυμένου ʃ α′. νάρδου Ἰνδικῆς ʃ α′. πεπέρεως πεφρυγμένου ὀβολοὺς β′. λείοις χρῶ, ὡς σπουδαίῳ φαρμάκῳ. ἄλλο. ℈ χαλκίτιδος μέρη δύο, καδμείας μέρος α′. κόψας καὶ σήσας τρῖβε ἐν ἡλίῳ, οἴνου ἐπιβάλλων ὅσον ἐξαρκεῖ, ἔπειτα ξηράνας καὶ διυλίσας ἀνελόμενος χρῶ. ἐκ τῶν Φιλοξένου ξηρὸν ἀχάριστον. ℈ καδμείας ʃ β′. χαλκίτεως ʃ η′. ἀλόης ὀβολοὺς β′. ἰοῦ ὀβολοὺς β′. πεπέρεως κόκκους δέκα, ῥόδων ἄνθους ʃ α′. λείοις χρῶ. τοῦ αὐτοῦ πρὸς ξηροφθαλμίαν καὶ σύκωσιν καὶ σηπεδόνας καὶ ὑπερσαρκώματα. ℈ καδμείας ʃ ι′. χαλκίτεως ʃ η′. πεπέρεως κόκκους ιε′. νάρδου Κελτικῆς ʃ α′. τρῖβε καδμείαν καὶ τὴν χαλκῖτιν μετ᾽ οἴνου, καὶ ὅταν ξηρανθῇ, ἐπίβαλλε νάρδον καὶ τὸ πέπερι καὶ χνοῶδες ποιήσας χρῶ. ἄλλο. ℈ καδμείας ʃ κ′. χαλκίτεως ʃ μ′. νάρδου Ἰνδικῆς δραχμὰς β′. σμύρνης πεφωγμένης ʃ β′. πεπέρεως κόκκους λε′. σκεύαζε δι᾽ ὄξους δριμυτάτου.

Καπίτωνος πρὸς ξηροφθαλμίας καὶ καθύγρους ὀφθαλμοὺς καὶ περιβεβρωμένους κανθοὺς καὶ βλέφαρα καὶ συκώδη. Καδμείαν Κυπρίαν λαβόντες θραύομεν, ὥστε ἀλφίτων ἔχειν τὸ μέγεθος, ἔπειτα Ἀττικῷ

μέλιτι φυράσαντες βάλλομεν εἰς κώθωνα κεράμεον, τούτου δὲ τὸ στόμιον φιμώσαντες καὶ πηλῷ περιπλάσαντες τρῆμα ποιοῦμεν κατὰ τὴν
12.732 τοῦ στόματος μεσότητα, ὥστε ἀναπνοὴν ἔχειν τὸ ὀπτώμενον, αὐτὸ δὲ τὸ ἀγγεῖον ὀρθὸν στήσαντες μεταξὺ ἀνθράκων ὑποκαίομεν. ἐκπύρου δὲ γενομένου προσέχομεν τοῖς διὰ τοῦ τρήματος ἀναφερομένοις ἀτμοῖς, καὶ εἰ μὲν μελάντεροι ἀναφέροιντο, ἔτι καίομεν· ὁπόταν δὲ λευκότεροι ἀναφαίνοιντο, αὐτάρκως ὠπτῆσθαι νομίσαντες, ἄραντες τὸ ἀγγεῖον καὶ ἀναπωμάσαντες κατασβεννύομεν τὴν καδμείαν οἴνῳ Ἰταλικῷ καὶ εἰς θυΐαν ἐξεράσαντες τρίβομεν καὶ ξηραίνοντες ἀποτιθέμεθα πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν, ἔχει δὲ οὕτω. ⳋ καδμείας ⸂ η΄. χαλκοῦ κεκαυμένου ⸂ η΄. στίμμεως ⸂ η΄. τρίψας καὶ ἀνελόμενος χρῶ πυρῆνι μήλης ὑποστιμμίζων τὰ βλέφαρα καὶ πρωΐ καὶ πρὸς ἑσπέραν. ἄλλο. ⳋ καδμείας καυθείσης καθὰ προείρηται, ⸂ η΄. χαλκοῦ κεκαυμένου ⸂ η΄. στίμμεως ⸂ δ΄. Ἀρμενίου ⸂ β΄. τρίψας καὶ ἀνελόμενος χρῶ. ἡμεῖς τὴν καδμείαν καὶ τὰ λοιπὰ στέατι ἐχίδνης φυράσαντες ὠπτήσαμεν, ἔπειτα οἴνῳ κατασβέσαντες καὶ λεάναντες ἐχρησάμεθα.

Τὰ δι᾽ αἱματίτου Καπίτωνος ὀφθαλμικοῦ φάρμακα ἐπιτετευγμένα πρὸς
12.733 τὰ ψωριῶντα βλέφαρα. ⳋ Καδμείας Κυπρίας δραχμὰς κδ΄. λίθου αἱματίτου δραχμὰς στ΄. ἐν ἄλλῳ ιστ΄. χαλκοῦ κεκαυμένου ⸂ κδ΄. τὰ ξηρὰ κόπτεται, ὥστε ἔχειν ἀλφίτων τὸ μέγεθος, καὶ μέλιτι φυρᾶται καὶ ὀπτᾶται, καθὰ προείρηται, καὶ οἴνῳ κατασβέννυται καὶ ξηρανθέντα λεαίνεται. ἡ χρῆσις δεδήλωται. ἄλλο. ⳋ καδμείας ⸂ κ΄. χαλκοῦ κεκαυμένου δραχμὰς ι΄. λίθου αἱματίτου δραχμὰς ι΄. κροκύδων πορφύρας Λακωνικῆς δραχμὰς η΄. μέλιτι φυράσας καὶ καύσας συντίθει καθὰ προείρηται.

Σωσάνδρου πρὸς μιλφώσεις καὶ κεχρονισμένας διαθέσεις, ποιεῖ δὲ πρὸς ἐγκανθίδας. ⳋ Καδμείας, στίμμεως, χαλκίτεως ὠμῆς, μίσυος ξενικοῦ ἀνὰ ⸂ η΄. κόψας καὶ μέλιτι φυράσας, ὄπτα καθὰ προείρηται, ἔπειτα οἴνῳ καταβρέξας καὶ λεάνας καὶ ξηράνας ἀνελόμενος χρῶ. ἄλλο. ⳋ χαλκίτεως ὠμῆς, καδμείας, στίμμεως, μίσυος ξενικοῦ ἀνὰ δραχμὰς η΄. νάρδου Ἰνδικῆς ⸂ β΄. κρόκου πεφωγμένου δραχμὰς β΄. πεπέρεως ⸂ α΄. τὰ μεταλλικὰ μέλιτι φυρᾶται καὶ καίεται καθὰ προείρηται, ἔπειτα οἴνῳ

12.734 κατασβέννυται καὶ λεαίνεται, τούτοις ἐπιβάλλεται τό τε νάρδινον καὶ τὸ κρόκινον πεφωγμένον καὶ τὸ πέπερι, ἔπειτα συλλεάναντες ἀνελόμενοι χρώμεθα.

Καλλιβλέφαρον φάρμακον ἐπιτετευγμένον ποιεῖ καὶ πρὸς κεχρονισμένας ὀφθαλμίας. ⁋ Στίμμεως κεκαυμένου καὶ οἴνου κατεσβεσμένου ‹ ιστ′. μολύβδου κεκαυμένου καὶ πεπλυμένου ‹ η′. λιβάνου αἰθάλης, ναρδοστάχυος, σμύρνης πεφωγμένης, κρόκου, λεπίδος χαλκοῦ, ἀνὰ ‹ α′. ἅπαντα λεάνας ἀνελόμενος χρῶ. ἄλλο διὰ κρόκου. ⁋ κρόκου γο α′. γλαυκίου γο α′. σαρκοκόλλης γο α′. ἐγὼ καὶ ὀπίου γο α′. ἔβαλλον. ἄλλο τὸ Σεβεριανόν. ⁋ καδμείας κεκαυμένης καὶ πεπλυμένης γο β′. ἁλῶν ἀμμωνιακῶν, πεπέρεως λευκοῦ γο β′. φύλλου ‹ β′. λειώσας ἐπιμελῶς χρῶ. ἄλλο μάλιστα νηπίοις χρήσιμον. ⁋ στίμμεως δραχμὰς ιστ′. μολύβδου ‹ η′. λεπίδος ‹ α′. κρόκου ‹ α′. ῥόδων ἄνθους δραχμὴν μίαν, σμύρνης ‹ α′. νάρδου Ἰνδικῆς, λιβάνου ἄρρενος, πεπέρεως λευκοῦ ἀνὰ δραχμὴν μίαν, φοινικοβαλάνων ὀστέα δέκα, πάντα βαλὼν εἰς ἄγγος κεραμεοῦν ὄπτα φιλοπόνως, ἔπειτα εἰς θυΐαν κατεράσας καὶ τρίψας
12.735 ἐπίβαλε ὀποβαλσάμου κοχλιάρια δύο, ἔπειτα ἀνακόψας καὶ ξηνάνας χρῶ. ξηρὸν Φιλοξένου πρὸς κνησμώδεις κανθοὺς καὶ περιβεβρωμένους, ποιεῖ καὶ πρὸς ἀμβλυωπίαν. ⁋ καδμείας δραχμὰς δ′. ἁλὸς ἀμμωνιακοῦ ‹ β′. πεπέρεως λευκοῦ ‹ α′. λείοις χρῶ. ταῦτα οὕτω σκευάζων. ⁋ καδμείας δραχμὰς η′. κρόκου δραχμὰς β′. πεπέρεως λευκοῦ ‹ α′. ἁλὸς ἀμμωνιακοῦ ‹ β′. νάρδου Ἰνδικῆς ‹ α′. λείοις χρῶ.

Ὑγραὶ ὀφθαλμικαὶ πρὸς τὰς συκώδεις ἐπαναστάσεις καὶ πάσης σαρκὸς ἐξοχήν. ποιεῖ καὶ πρὸς ἐγκανθίδας καὶ πρὸς ἀρχομένας ὀφθαλμίας, ᾗ ἐχρήσατο Φίλιππος ἐν Καισαρείᾳ. ⁋ Μίσυος ὀπτοῦ δραχμὰς η′. σμύρνης ‹ δ′. καδμείας δραχμὰς η′. κρόκου ‹ β′. ἁλὸς ἀμμωνιακοῦ ‹ β′. νάρδου Ἰνδικῆς, πεπέρεως λευκοῦ ἀνὰ δραχμὴν μίαν, μέλιτος Ἀττικοῦ κύαθον α′. ἄλλο. ⁋ μίσυος ὀπτοῦ δραχμὰς στ′. χαλκάνθου δραχμὰς δ′. σμύρνης δραχμὰς δ′. χαλκοῦ κεκαυμένου ‹ α′. μέλιτος Ἀττικοῦ κυάθους ι′.

Πάγχρηστος Ἐρασιστράτου πρὸς τὰ τραχώματα καὶ πάσας ὀφθαλμίας καὶ
12.736 ὦτα πυορροοῦντα καὶ πρὸς τὰ δυσεπούλωτα ἕλκη καὶ τὰς ἐν στόματι νομάς. ⁋ Χαλκοῦ κεκαυμένου δραχμὰς β′. σμύρνης ‹ α′. πεπέρεως

ὀβολοὺς β′. μίσυος ὀπτοῦ ‹ α′. κρόκου τριώβολον, οἴνου Χίου κοτύλην α′. γλυκέος Κρητικοῦ κοτύλης τὸ ἥμισυ, τρῖβε τὰ ξηρὰ τὸν οἶνον ἐπιβάλλων, καὶ ὅταν συμπίῃ, ἐπίβαλλε τὸν γλυκὺν καὶ ἀνακόψας κατέρα εἰς χαλκοῦν ἀγγεῖον καὶ ἕψε πυρὶ μαλακῷ χρώμενος, εἶτα ἀπόθου εἰς χαλκῆν πυξίδα. πρὸς τύλους καὶ πᾶσαν ἐξοχήν. ⁊ χαλκοῦ κεκαυμένου δραχμὰς β′. μίσυος κεκαυμένου ‹ α′. σμύρνης ‹ α′. κρόκου δραχμὴν μίαν, ὀμφακίου ‹ α′. οἴνου Χίου κυάθους β′. μέλιτος Ἀττικοῦ λίτρας ′′. χρῶ. Φιλοξένου ὑγρὰ ὀξυδερκικὴ, οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁊ ἀμμωνιακοῦ θυμιάματος δραχμὰς δ′. ἰοῦ ‹ β′. οἴνῳ διαλύσας καὶ συντρίψας ἀναλάμβανε μέλιτι Ἀττικῷ. ἄλλο. ⁊ ἀμμωνιακοῦ θυμιάματος δραχμὰς ιβ′. ἰοῦ ‹ στ′. σμύρνης δραχμὰς β′. συντίθει καθὰ προείρηται. ἄλλο. Φαίδρου τὸ ῥινίον. ⁊ ἀμμωνιακοῦ θυμιάματος δραχμὰς δ′. ἰοῦ ‹ α′. ἀλκυονίου πεφωγμένου δραχμὴν μίαν, λίθου Ἀσίου ἄνθους τριώβολον,
12.737 συντίθει καὶ χρῶ καθὰ προείρηται. ἄλλο. ⁊ ἀμμωνιακοῦ θυμιάματος δραχμὰς η′. ἰοῦ ‹ η′. λίθου Ἀσίου ἄνθους δραχμὰς β′. ὀβολοὺς β′. ἀλκυονίου δραχμὴν μίαν, ὀβολοὺς β′. ὀπίου ‹ α′ ′′. σμύρνης ‹ α′ ′′. συντίθει καὶ χρῶ καθὰ προείρηται.

Αἰγυπτία πρὸς τύλους καὶ λευκώματα, ἀφαιρεῖ καὶ δέρματα παραυτίκα. ⁊ Ἰοῦ Κορινθίου ‹ στ′. ἀμμωνιακοῦ θυμιάματος ‹ στ′. ὀβολοὺς δ′. ἁλὸς ὀρυκτοῦ ‹ δ′. κολοκυνθίδος ἐντεριώνης ‹ δ′. ταυρείας χολῆς δραχμὰς β′. νίτρου μέλανος ‹ α′ ′′. πεπέρεως λευκοῦ, κόκκους μ′. μέλιτος Ἀττικοῦ κυάθους στ′. συντίθει καθὰ προείρηται καὶ ἀνελόμενος εἰς πυξίδα πρινίνην χρῶ. ἄλλη Αἰγυπτία πρὸς τύλους καὶ λευκώματα καὶ κεχρονισμένας διαθέσεις. ⁊ ἰοῦ δραχμὰς στ′. ἀμμωνιακοῦ θυμιάματος ‹ στ′. κολοκυνθίδος ἐντεριώνης δραχμὰς γ′. χολῆς ταυρείας ‹ β′. νίτρου μέλανος ‹ β′. κυάθοις στ′. ἀναλάμβανε μέλιτι Ἀττικῷ καὶ χρῶ. πρὸς ὀξυδερκίαν Ἀντωνίου Μούσα, ποιεῖ καὶ πρὸς γλαυκώσεις. ⁊ πέρδικος ἀγρίου χολῆς μέρος α′. ἐν ἄλλῳ. περδικίου βοτάνης χυλοῦ, ἔνιοι
12.738 κενταυρείου χυλοῦ μέρη τρία, μέλιτος Ἀττικοῦ τὸ ἴσον. ἄλλο. ⁊ ὄρνιθος γηραιοῦ χολῆς μέρος α′. κενταυρείου χυλοῦ μέρος α′. μέλιτος Ἀττικοῦ μέρη τρία, ποιεῖ πρὸς γλαυκώσεις. ὀξυδερκικὴ Λάργου. ⁊ μαράθρου χυλοῦ τῆς ῥίζης μέρος α′. μέλιτος τὸ ἴσον, ἀνελοῦ εἰς πυξίδα χαλκῆν, χρῶ. ἄλλο ⁊ μαράθρου χυλοῦ τῆς ῥίζης μέρος α′. χελιδονίας χυλοῦ τὸ

ἴσον, μέλιτος Ἀττικοῦ τὸ ἴσον. Αἰλίου Γάλλου πρὸς ὑποχύσεις. ⁋ ἀλεκτρυόνος χολῆς δραχμὰς η′. χελώνης θαλασσίας χολῆς ‹ η′. μέλιτος Ἀττικοῦ τὸ ἴσον, ταυρείας χολῆς δραχμὰς β′. κρόκου ‹ β′. ὀποβαλσάμου δραχμὰς β′. κόψας χρῶ. Κασσίου πρὸς ὑποχύσεις. χολὴν ταυρείαν κενώσας εἰς πυξίδα χαλκῆν ἔα ἐπὶ ἡμέρας ι′. εἶτα ἀναλαβὼν δραχμὰς β′. σμύρνης, κρόκου ‹ β′. ὀποπάνακος δραχμὰς β′. ὀποβαλσάμου ‹ β′. πεπέρεως κόκκους ιβ′. μέλιτος Ἀττικοῦ τὸ διπλοῦν, τῇ χολῇ ἅπαντα μίξας, ἕψε ἐν ἀγγείῳ χαλκῷ καὶ ἀπόθου εἰς πυξίδα χαλκῆν καὶ χρῶ. ὑγρὰ ἡ βασιλὶς, ταύτην καλοῦμεν ἀναληπτικήν. ⁋ ὀμφάκου δραχμὰς β′. σμύρνης ‹ β′. ἀετοῦ χολῆς δραχμὰς β′. ὀποβαλσάμου δραχμὰς β′. ἐλαίας
12.739 δακρύου ‹ β′. ἀμμωνιακοῦ θυμιάματος δραχμὴν μίαν, χολῆς ὑαίνης ‹ β′. μέλιτι ἀναλάμβανε. ἄλλο. ⁋ ὀμφάκου δραχμὰς β′. σμύρνης ‹ α′. ἁλὸς ἀμμωνιακοῦ ‹ α′. κρόκου ‹ α′. ὀποβαλσάμου ‹ α′. ἐλαίας δακρύου ‹ α′. ἀμμωνιακοῦ θυμιάματος ‹ α′. χολῆς ὑαίνης ‹ η′. ἀναλάμβανε μέλιτι Ἀττικῷ. ἐν ἄλλῳ, ἐλαίου παλαιοῦ κυάθους β′. Ἀντωνίου Μούσα. ⁋ χολῆς ὑαίνης ‹ α′. ἀρκείου χολῆς ‹ ιβ′. ὀποβαλσάμου δραχμὰς β′. ἁλὸς ὀρυκτοῦ δραχμὴν μίαν, κρόκου ‹ α′. σμύρνης ‹ α′. μέλιτος Ἀττικοῦ κυάθους β′. μαράθρου χυλοῦ κυάθους β′. Φιλοξένου. ⁋ χολῆς ὑαίνης ‹ α′ ′′. στέατος ἐχίδνης ‹ α′ ′′. κρόκου δραχμὴν μίαν, ὀμφάκου ‹ α′. σμύρνης ‹ τὸ ἥμισυ, ὀποβαλσάμου ‹ α′. μέλιτος Ἀττικοῦ δραχμὰς η′.

Βάμματα λευκωμάτων. Κηκίδα λείαν ἔχε ἐν ἀποθέτῳ, ἐν δὲ τῇ χρήσει παράπτου πυρῆνι μήλης θερμαίνων τὸν πυρῆνα, ἔπειτα χαλκάνθῳ ὕδατι ἀναλυθέντι παράπτου. ἄλλο. σιδίοις λείοις παράπτου, ἔπειτα χαλκάνθῳ ὕδατι διαλυθείσῃ παράπτου. ἄλλο. ⁋ μίσυος, χαλκάνθου, κηκίδων
12.740 ὀμφακίνων, ἑκάστου τὸ ἴσον κόψας καὶ σήσας ἀπόθου, ἐν δὲ τῇ χρήσει παράπτου ξηρῷ. ἄλλο. ⁋ στυπτηρίας σχιστῆς, σιδίων, ῥοιᾶς, μέλιτος, ἀκακίας καρποῦ, ἑκάστου τὸ ἴσον κόψας παράπτου.

Πρὸς γλαυκοφθάλμους, ὥστε μελαίνας ἔχειν κόρας. Σιδίων γλυκέων τὸν χυλὸν παρεγχυμάτιζε, ἔπειτα διαστήσας ἔνσταζε ὑοσκυάμου τὸ ἄνθος τρίψας μετ᾽ οἴνου ἢ ὑοσκυάμου χυλοῦ, δεῖ δὲ τῷ δέοντι καιρῷ ταῦτα συνάγειν καὶ ἀποτίθεσθαι. ἄλλο. ἀκακίας τὸν καρπὸν καὶ κηκίδων ὀλίγον τρίψας ἐπιμελῶς, ἀναλάμβανε ἀνεμώνης τῷ χυλῷ, ὥστε μέλιτος

ἔχειν τὸ πάχος, ἔπειτα ἐκθλίψας διὰ ῥάκους ἐπιμελῶς, ὡς ὑγρὸν ἀπόθου καὶ χρῶ καθὰ προείρηται.

Πρὸς τριχῶντας, Ἀντωνίου Μούσα. Ὀρνέου τοῦ καλουμένου κιναίδου τὴν χολὴν καὶ ἀκονίτου ἥμισυ μίξας ἀπόθου, ἐν δὲ τῇ χρήσει τὴν τρίχα ἀποτίλας ἐπίχριε τὸν τόπον τῷ φαρμάκῳ. ἄλλο. ⁋ ἰχθύος φάγρου τὴν χολὴν καὶ ἀκονίτου ἥμισυ, ἐπὶ λεπίδος σιδηρᾶς πεπλυμένης στέατι
12.741 δεῦσον καὶ τούτοις ἐπίβαλε ἀμυγδαλίνου ἐλαίου ὀλίγον καὶ νυκτερίδος αἵματος ὅσον ἐξαρκεῖ, ἔπειτα μίξας καὶ ἀνελόμενος χρῶ καθάπερ προείρηται.

Ἀνακολλήματα τριχῶν, Ἡρακλείδου Ταραντίνου. ⁋ Κηροῦ ‹ α′. πίσσης ‹ α′. λιθοκόλλης ‹ α′. ταυροκόλλης ‹ α′. μαστίχης δραχμὴν μίαν, ὁμοῦ τήξας ἀπόθου, ἐν δὲ τῇ χρήσει μηλωτίδος τὸ ἄκρον πυρώσας παράπτου τῷ φαρμάκῳ καὶ τὸ διαλυόμενον αἴρων ἀνακόλλα τὰς τρίχας. ἄλλο. ⁋ ῥητίνης ξηρᾶς, πίσσης ξηρᾶς ἀνὰ ‹ α′. θείου ἀπύρου δραχμὴν μίαν, ἀσφάλτου ‹ μίαν, κηροῦ ‹ β′. τήξας χρῶ.

Πρὸς τὰς ἐπὶ τῶν βλεφάρων κριθὰς, ἃς ποσθίας καλοῦσιν, Ἀντωνίου Μούσα. ⁋ Χαλβάνης μέρος α ′. νίτρου ὀλίγον μίξας ἐπιτίθει· καὶ μίσυος ὠμοῦ ὅσον ὀλίγον μίξας ἐπιτίθει. ποιεῖ δὲ καὶ σῦκα ξηρὰ, ἐν οἰνομέλιτι ἑψηθέντα καὶ λεανθέντα, ὀλίγης χαλβάνης συλλεανθείσης. ποιεῖ δὲ καὶ ἄλευρον κρίθινον, ἐν οἰνομέλιτι ἑψηθὲν καὶ λεανθὲν μετ’ ὀλίγου χαλβάνης συλλεανθείσης.

12.742 Διονυσίου Μιλησίου πρὸς τριχῶντας. Λαγωὸν θαλάσσιον καύσας ἐπὶ ὀστράκου καινοῦ καὶ τὴν σποδὸν τρίψας, ἀναλάμβανε κροτώνων τῷ αἵματι καὶ ἀνελόμενος εἰς πυξίδα κερατίνην χρῶ προεκτίλας τὴν τρίχα. ἄλλο. σαλαμάνδρας κεκαυμένης τὴν σποδὸν, ἀναλάμβανε ἐχίνων χερσαίων τῇ χολῇ καὶ χρῶ καθὰ προείρηται. ἔνιοι δὲ ἐχρήσαντο καστορίῳ μιχθέντι μέλιτι ἢ καστορίῳ καὶ βδέλλης κεκαυμένης τῇ τέφρᾳ ἢ κωνείου τὸν καρπὸν τρίψαντες καὶ αἵματι θύννης ἀναλαβόντες ἐπέχρισαν προαποτίλαντες τὴν τρίχα.

Πρὸς κριθὰς καὶ χαλάζια. Σαγαπηνὸν μετ’ ὄξους τρίψας χρῶ. ἄλλο πρὸς αἰγίλωπας. ἰλλεκέβρας χυλοῦ, στρύχνου χυλοῦ ἀνὰ λίτρας .

λιβάνου η . μαστίχης γο γ . χαλβάνης λίτρας . ἔψε τοὺς χυλοὺς μετὰ τοῦ λιβάνου, καὶ ὅταν διαλυθῇ, ἐπίβαλε τὴν χαλβάνην, τὴν γὰρ μαστίχην παραιτούμεθα. ἄλλο. λιβάνου δραχμὰς η . λαδάνου δ . σχιστῆς δραχμὰς δ . σμύρνης η . κηροῦ δ . ἀφρονίτρου δ . πιτυᾶς λαγωοῦ δ . κόπτεται τὸ φάρμακον καὶ μαλάσσεται ἰρίνου μύρου ὑποστάθμῃ.

12.743 Τὰ πρὸς ὀφθαλμοὺς, ἐν τῷ αὐτῷ βιβλίῳ τῷ πρώτῳ τῶν ἐκτὸς Ἀσκληπιάδου γεγραμμένα καταπλάσματα καὶ ἀνακολλήματα καὶ περιχρίσματα. Καταπλάσματα ὀφθαλμιώντων πρὸς περιωδυνίας καὶ μεγίστας ἐπιφορὰς, οἷς ἐχρήσατο Ἡρακλείδης ὁ Ταραντῖνος. ℈ ῥόδων χλωρῶν ἢ ξηρῶν ‹ δ′. κρόκου ‹ α′. ὀπίου ‹ α′. ἀναλάμβανε μελιλώτου ἀφεψήματι ἐν γλυκεῖ. ἄλλο. ℈ ῥόδων, λευκοΐων, μελιλώτων, κωδυῶν μήκωνος ἀνὰ ‹ β′. κρόκου ‹ α′. ὀπίου ‹ α′. σμύρνης ‹ α′. ὠοῦ ὀπτοῦ τὴν λέκυθον τρίψας καὶ γλυκεῖ ἀναλαβὼν χρῶ καθὰ προείρηται.

Ἐπιχρίσματα πρὸς περιωδυνίας, οἷς ἐχρήσατο Γλαῦκος. ℈ Ἀλόης, λυκίου Ἰνδικοῦ, ῥόδων χλωρῶν, κρόκου, ὀπίου, σμύρνης, ἑκάστου τὸ ἴσον, οἴνῳ φυράσας ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει γλυκεῖ διαλύσας ἐπίχριε τοὺς ὀφθαλμοὺς καὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους. Φιλοξένου πρὸς ῥεῦμα πολὺ καὶ περιωδυνίας. ℈ ῥόδων ἀπαλῶν φύλλων ‹ β′. ὑοσκυάμου σπέρματος δραχμὰς η′. λιβανωτοῦ δραχμὰς γ′. σμύρνης ‹ δ′. ἀλεύρου ἀλφίτων ὀξύβαφον, ὠοῦ ὀπτοῦ ἑνὸς
12.744 τὸ ἐντὸς, μανδραγόρου χυλοῦ δραχμὰς δ′. κρόκου ‹ β′. ὀπίου δραχμὰς δ′. οἴνου αὐστηροῦ ὅσον ἐξαρκεῖ ἀνάπλαττε καὶ χρῶ καθὰ προείρηται. ἐπίχριστος ἀνθηρά. ℈ κρόκου ‹ δ′. λιβάνου δραχμὰς β′. κινναβάρεως δραχμὰς δ′. κόμμεως ‹ β′. οἴνῳ ἀναλάμβανε. ἐν δὲ τῇ χρήσει τρίψας καὶ στερεὸν ποιήσας ἐπίβαλλε μέλιτος ὀλίγον. ἄλλο τὸ λύχνιον ἐπιγραφόμενον. ℈ κρόκου δραχμὴν μίαν, λιβάνου δραχμὰς β′. ὀπίου ‹ β′. κόμμεως δραχμὰς β′. κινναβάρεως ‹ β′. ὕδατι ὀμβρίῳ ἀναλάμβανε. ἐν ἄλλοις κρόκου ῥοδοειδοῦς ‹ δ′. κινναβάρεως ‹ β′. σμύρνης, ὀπίου, ἀνὰ δραχμὰς β′. ὕδατι ὀμβρίῳ ἀναλάμβανε.

Ἐπίχριστα δακνηρὰ παραχρῆμα ἐπέχει τὸ ῥεῦμα, ποιεῖ καὶ πρὸς ψωροφθαλμίαν. ℈ Χαλκοῦ κεκαυμένου δραχμὰς δ′. κρόκου ‹ δ′.

πεπέρεως λευκοῦ δραχμὰς β′. ὀπίου ‹ β′. κόμμεως δραχμὰς δ′. ὕδατι ὀμβρίῳ ἔξωθεν ἐπιχριόμενον, ἀνακόπτει μεγίστας ἐπιφορὰς, φυλάττεσθαι δὲ δεῖ τὰς παρεμπτώσεις τοῦ φαρμάκου. ἄλλο τὸ φλόγινον ἐπιγραφόμενον. ℩ χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιβ′.
12.745 κρόκου ‹ στ′. πεπέρεως λευκοῦ δραχμὰς δ′. σμύρνης ‹ γ′. ὀπίου δραχμὰς γ′. κόμμεως δραχμὰς ιβ′. οἴνῳ Ἀμιναίῳ.

Ἀνακολλήματα ῥευμάτων ἐφεκτικά. ℩ Γύρεως μέρος α′. σμύρνης μέρος α′. μάννης λιβάνου μέρος α′. ἀναλάμβανε ὠοῦ τῷ λευκῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει κατὰ τῶν κροτάφων καὶ τοῦ μετώπου. ἄλλο. ℩ ὑοσκυάμου σπέρματος δραχμὰς ιβ′. ὀπίου ‹ α′. κρόκου ‹ α′. γύρεως δραχμὰς δ′. ὠῶν ὀπτῶν λεκίθους β′. καστορίου ‹ α′. ἅπαντα φυράσας ἀναλάμβανε καὶ χρῶ. κολλύριον πρὸς ἐπιφορὰν καὶ περιωδυνίαν καὶ ῥεῦμα πολὺ, ᾧ ἐχρήσατο Μοσχίων γνώριμος. ℩ γλαυκίου δραχμὰς ιστ′. σαρκοκόλλης ‹ η′. κρόκου δραχμὰς δ′. κόμμεως δραχμὰς β′. τραγακάνθης δραχμὰς β′. μανδραγόρου χυλοῦ ‹ β′. ὀπίου δραχμὴν μίαν, ὕδατι ὀμβρίῳ ἀναλάμβανε καὶ χρῶ δι᾽ ὠοῦ.

Ἥρωνος ὀφθαλμικοῦ ὁ ψιττακὸς πρὸς περιωδυνίας καὶ ῥεῦμα πολὺ ὑπνοποιεῖ παραχρῆμα. ℩ Γλαυκίου ‹ ιστ′. κρόκου δραχμὰς η′. σαρκοκόλλης ‹ η′. ὀπίου δραχμὰς δ′. μανδραγόρου χυλοῦ ‹ β′.
12.746 τραγακάνθης ‹ η′. ὕδατι ὀμβρίῳ. πρὸς τὰς εἰρημένας διαθέσεις τοῦ Νεαπολίτου. ℩ γλαυκίου δραχμὰς μη′. σαρκοκόλλης ‹ κδ′. κρόκου ‹ κδ′. λίθου αἱματίτου ‹ ιβ′. ὀπίου δραχμὰς ιβ′. μανδραγόρου χυλοῦ ‹ η′. κόμμεως ‹ ιστ′. τραγακάνθης ‹ ιβ′. ὕδωρ ὄμβριον. Σεργίου ὀφθαλμικοῦ Βαβυλωνίου. ℩ γλαυκίου ‹ κδ′. σαρκοκόλλης ‹ ιστ′. κρόκου δραχμὰς ιβ′. ὀπίου ‹ δ′. λίθου αἱματίτου ‹ στ′. κόμμεως δραχμὰς ιβ′. ὕδωρ ὄμβριον ἔγχριε μέχρι μιᾶς καὶ δευτέρας ἡμέρας, μὴ λυομένης δὲ τῆς διαθέσεως καταβαίνομεν ἐπὶ τὰς τῶν ἀκολούθων ἐγχρίσεις. ἄλλο. διάσμυρνον γλαυκιδανὸν ἐπιγραφόμενον. ℩ γλαυκίου ‹ μη′. σαρκοκόλλης δραχμὰς μη′. κρόκου ‹ κδ′. ὀπίου δραχμὰς στ′. σμύρνης δραχμὰς στ′. αἱματίτου ‹ στ′. τραγακάνθης δραχμὰς μη′. ὕδωρ ὄμβριον, ἡ χρῆσις δι᾽ ὠοῦ. διάσμυρνον δι᾽ αἱματίτου. ℩ γλαυκίου ‹ ξδ′. σαρκοκόλλης ‹ λβ′. κρόκου ‹ ιβ′. ὀπίου δραχμὰς η′. σμύρνης ‹ στ′. αἱματίτου ‹ ιστ′. τραγακάνθης

δραχμὰς μη΄. κόμμεως ‹ ιστ΄. ἐν ἄλλῳ ‹ μη΄. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι’
12.747 ὠοῦ. ἄλλο. ⳋ γλαυκίου ‹ ξδ΄. σαρκοκόλλης δραχμὰς λβ΄. κρόκου ‹ κδ΄. ὀπίου ‹ στ΄. σμύρνης δραχμὰς στ΄. αἱματίτου ‹ στ΄. τραγακάνθης ‹ ιστ΄. κόμμεως δραχμὰς ιβ΄. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι’ ὠοῦ.

Ὁ φωσφόρος πρὸς περιωδυνίαν καὶ πᾶσαν φλεγμονὴν καὶ τὰς ἐπιτεταμένας ἐπιφοράς. ⳋ Γλαυκίου ‹ κδ΄. σαρκοκόλλης δραχμὰς η΄. κρόκου, ὀπίου ἀνὰ δραχμὰς η΄. σμύρνης ‹ η΄. μίσυος κεκαυμένου δραχμὰς η΄. κόμμεως ‹ ιθ΄. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι’ ὠοῦ. εὔχρουν καθ’ ὑπερβολὴν καὶ θαυμαζόμενον ἐπὶ τῶν ἔργων. ⳋ γλαυκίου ‹ κ΄. σαρκοκόλλης δραχμὰς ζ΄. κρόκου ‹ ζ΄. σμύρνης δραχμὰς ζ΄. ὀπίου ‹ ζ΄. μίσυος κεκαυμένου ‹ ζ΄. κόμμεως δραχμὰς ιβ΄. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι’ ὠοῦ. ἀνώδυνον διὰ χυλῶν πρὸς πᾶσαν περιωδυνίαν, ὕπνον ποιεῖ παραχρῆμα. ⳋ γλαυκίου δραχμὰς μη΄. σαρκοκόλλης, τραγακάνθης ἀνὰ ‹ ιστ΄. κρόκου δραχμὰς η΄. ὀπίου ‹ δ΄. ῥόδων χυλοῦ δραχμὰς δ΄. λυκίου
12.748 Ἰνδικοῦ ‹ δ΄. ὑοσκυάμου ‹ δ΄. μανδραγόρου χυλοῦ ‹ δ΄. κωνείου χυλοῦ δραχμὰς δ΄. κόμμεως ‹ η΄. ἀναλαμβάνεται μελιλώτου ἀφεψήματι, συντίθεται δὲ τὸν τρόπον τοῦτον· λαβὼν μελιλώτου λίτραν μίαν καὶ ὕδατος ὀμβρίου κοτύλας ιβ΄. ἕψε εἰς τὸ τρίτον, καὶ διαλύσας τὸ ὑγρὸν χρῶ πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν. ἄλλο. ⳋ γλαυκίου δραχμὰς μη΄. σαρκοκόλλης ‹ κδ΄. κρόκου ‹ κδ΄. ὀπίου δραχμὰς ιβ΄. λυκίου Ἰνδικοῦ ‹ ιβ΄. ὑοσκυάμου χυλοῦ δραχμὰς ιβ΄. κωνείου χυλοῦ ‹ ιβ΄. ῥόδων χλωρῶν χωρὶς τῶν λοβῶν δραχμὰς μη΄. κόμμεως ‹ μη΄. ἀναλάμβανε ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι’ ὠοῦ. φαιὸν ἐπιγραφόμενον, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς περιωδυνίας. ⳋ καδμείας ‹ ιβ΄. ἢ δραχμὰς ιστ΄. χαλκοῦ κεκαυμένου ‹ στ΄. σμύρνης ‹ γ΄. ὀπίου δραχμὰς γ΄. ἀκακίας ‹ ζ΄. ὕδωρ ὄμβριον ὡς δεδήλωται. ἄλλο τὸ φαιὸν πρὸς πᾶν ῥεῦμα καὶ πᾶσαν ὀφθαλμίαν, ἐν ἄλλῳ παιδικόν. ⳋ χαλκοῦ κεκαυμένου ‹ ιβ΄. καδμείας δραχμὰς λβ΄. κόμμεως ‹ λβ΄. ἀκακίας ‹ λβ΄. σμύρνης δραχμὰς δ΄. ὀπίου ‹ δ΄. ὕδωρ ὄμβριον. ἄλλο ἐκ τῶν Φιλοξένου. ⳋ σποδοῦ Κυπρίας ‹ ιβ΄.
12.749 χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς γ΄. ὀπίου, σμύρνης ἀνὰ ‹ γ΄. ἀκακίας, κόμμεως ἀνὰ δραχμὰς ζ΄. ὕδωρ ὄμβριον. ἡ χρῆσις δι’ ὠοῦ ὡς δεδήλωται.

Τὸ Βηρύτιον ἐπιγραφόμενον, ᾧ ἐχρήσατο Στράτων Βηρύτιος πρὸς τὰς μεγίστας ἐπιφορὰς, ὠφελεῖ παραχρῆμα. ⁊ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιστ′. ἀκακίας δραχμὰς ιστ′. σποδοῦ πομφόλυγος ‹ ιστ′. ὀπίου ‹ ιστ′. κόμμεως δραχμὰς ιστ′. κρόκου ‹ ιβ′. σμύρνης δραχμὰς β′. ὕδωρ ὄμβριον. ἡ χρῆσις δι᾽ ὠοῦ, δεῖ δὲ ἐγχυματίζειν συνεχῶς. ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ⁊ σποδοῦ πομφόλυγος δραχμὰς ιστ′. ὀπίου ‹ ιβ′. σμύρνης δραχμὰς ιβ′. κόμμεως δραχμὰς ιστ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιστ′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις ὡς δεδήλωται.

Τὸ ἀχάριστον ἐπιγραφόμενον, πρὸς τὰς μεγίστας ἐπιφοράς. μόνῳ τούτῳ ἐν Αἰγύπτῳ οἱ ἰατροὶ χρώμενοι εὐημεροῦσι καὶ μάλιστα ἐπὶ τῶν ἀγροικοτέρων. ⁊ Καδμείας δραχμὰς ιστ′. ἀκακίας ‹ η′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ η′. ὀπίου δραχμὰς δ′. ἐρείκης καρποῦ δραχμὰς δ′. σμύρνης ‹ δ′. κόμμεως δραχμὰς ιστ′. ὕδατι ἀναλάμβανε. ἡ
12.750 χρῆσις διὰ γάλακτος γυναικείου, ἡ κρᾶσις μέση, ὅπου δέ ἐστι περὶ τοὺς ὀφθαλμοὺς διάθεσις, ἀπέχεσθαι δεῖ τοῦ κολλυρίου. ᾧ δ᾽ αὐτὸς ἐχρησάμην ἔχει οὕτως. ⁊ καδμείας δραχμὰς ιστ′. ἐρείκης καρποῦ ‹ β′. χαλκοῦ κεκαυμένου δραχμὰς δ′. ὀπίου ‹ β′. σμύρνης δραχμὴν μίαν, ἀκακίας ‹ στ′. κόμμεως δραχμὰς η′. ὕδατι ἀναλάμβανε, ἡ χρῆσις δεδήλωται. ἄλλο. ⁊ καδμείας ‹ στ′. ἐρείκης καρποῦ δραχμὰς δ′. ὀπίου ‹ στ′. λιβανωτοῦ δραχμὰς β′. σμύρνης ‹ η′. λίθου σχιστοῦ δραχμὰς β′. ἀκακίας δραχμὰς η′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ δ′. κόμμεως ‹ κ′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

Τὸ Νεκτάριον Μάρκου ποιεῖ πρὸς ἀρχομένας ὀφθαλμίας, ποιεῖ καὶ πρὸς ἐπιφορὰς ῥεύματος λεπτοῦ, χημώσεις, οἰδήματα, ὑμένων ἐπαναστάσεις, σχεδὸν πρὸς πᾶσαν ὀφθαλμίαν ποιεῖ καὶ πρὸς βλέφαρα τραχέα. Δεῖ δὲ πρὸ παντὸς προπυριᾷν, εἶτα ἐγχυματίζειν, ἐν ἀρχῇ μὲν τοῦ ῥεύματος δι᾽ ὠοῦ ὑδαροῦς, προκοπτούσης δὲ τῆς ἐπιμελείας κατὰ μικρὸν ἐπιτείνειν
12.751 τὴν κρᾶσιν. πρὸς δὲ τὰ τραχέα βλέφαρα χρώμεθα τῷ δι᾽ ὕδατος κολλυρίῳ, παρ᾽ ἄλλοις καλεῖται σφραγίς. ⁊ χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς δ′. καδμείας ‹ δ′. κρόκου δραχμὰς β′. ὀπίου δραχμὰς β′. κόμμεως ‹ στ′. ὕδατι ἀναλάμβανε καὶ χρῶ, ὡς δεδήλωται. Σεργίου ὀφθαλμικοῦ. μονοήμερον ἐπιγραφόμενον. ⁊ καδμείας

κεκαυμένης καὶ πεπλυμένης δραχμὰς δ′. σποδοῦ πομφόλυγος πεπλυμένου ‹ δ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ δ′. κρόκου δραχμὰς β′. ὀπίου δραχμὰς β′. ἀκακίας ‹ στ′. κόμμεως δραχμὰς στ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις ὑδαρὴς, μετὰ τὸ ἀποδακρῦσαι ἐγχυματίζειν χρὴ ὠοῦ τῷ λευκῷ καὶ πάλιν ὑπαλείφειν. δήξεως δὲ γενομένης ἀποπυριᾷν δεῖ καὶ πάλιν ἐγχυματίζειν ὠοῦ τῷ λευκῷ, μετὰ δὲ ταῦτα ἐπίχριε τῷ ἐπιγραφομένῳ μέλανι κολλυρίῳ. ἡ τοῦ Νεαπολίτου σφραγίς. ⁋ καδμείας ‹ η′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ η′. ἀκακίας δραχμὰς η′. σποδοῦ Κυπρίας ‹ δ′. κρόκου ‹ δ′. ὀπίου δραχμὰς δ′. κόμμεως ‹ ιβ′. ὕδατι ἀναλάμβανε, ἡ χρῆσις δεδήλωται. Πακκίου σφραγίς. ⁋ καδμείας κεκαυμένης καὶ ἐσβεσμένης γάλακτι αἰγείῳ ἢ γυναικείῳ καὶ
12.752 πεπλυμένης καὶ ἐξηραμμένης ἐν σκιᾷ ‹ ι′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ι′. ἀκακίας ‹ ι′. ὀπίου ‹ στ′. κρόκου δραχμὰς στ′. κόμμεως ‹ ιε′. ὕδωρ ὄμβριον. ἡ Ζωίλου συμφωνεῖ τῷ ἐκ τῶν Πακκίου. Φιλώτου ἀφροδιτάριον ἐπιγραφόμενον. ⁋ καδμείας πεπλυμένης ‹ κδ′. ἀκακίας δραχμὰς λστ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιβ′. κρόκου δραχμὰς ιβ′. ὀπίου ‹ ιβ′. σποδοῦ Κυπρίας πεπλυμένης δραχμὰς ιβ′. κόμμεως ‹ μη′. ἀναλάμβανε ὕδατι ὀμβρίῳ καὶ χρῶ δι᾽ ὠοῦ ἐγχυματίζων συνεχῶς. μετὰ δὲ τὴν ἐπιμέλειαν λούεσθαι παραίνει. τούτῳ συνεχῶς ἐχρησάμην ἐπὶ τῶν μεγίστων ἐπιφορῶν.

Ἄλλο τὸ τοῦ Νεαπολίτου· ποιεῖ καὶ πρὸς τὰς μεγίστας ἐπιφορὰς, καὶ μάλιστα ἐπὶ τῶν δυσίκμων ὀφθαλμῶν καὶ ὑπολευκανθιζόντων κατὰ τὰς φλεγμονὰς, ὥστε ὅμοιον τῇ χημώσει ὑποφαίνειν. τούτῳ ἡμεῖς ἐχρησάμεθα μετὰ τὰς ἐγχρίσεις λούεσθαι παραινοῦντες. ⁋ Λίθου σχιστοῦ δραχμὰς η′. λιβάνου ‹ ζ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ η′. ὀπίου
12.753 δραχμὰς η′. σμύρνης δραχμὰς δ′. κόμμεως ‹ η′. οἴνῳ. ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις ὑδαρής. πολλάκις δὲ ἐγχυματίσαντας καὶ διαστήσαντας ἀπὸ τῆς ἐγχρίσεως λούεσθαι παραινεῖν.

Φαιὸν τὸ τοῦ Ὀλυμπιονίκου ἐπιγραφόμενον. ποιεῖ πρὸς τὰς μεγίστας περιωδυνίας, ποιεῖ καὶ πρὸς χημώσεις καὶ καθόλου τῶν ἐπιτετευγμένων ἐστὶ κολλυρίων· καὶ γὰρ εὐθέως ἀπαλλάττει. ⁋ Καδμείας κεκαυμένης καὶ πεπλυμένης δραχμὰς η′. ἀκακίας δραχμὰς η′. στίμμεως κεκαυμένου καὶ

πεπλυμένου δραχμὰς η΄. ἀλόης Ἰνδικῆς ‹ η΄. κρόκου δραχμὰς δ΄. σμύρνης δραχμὰς δ΄. ὀπίου ‹ δ΄. κόμμεως δραχμὰς η΄. ὕδατι ἀναλάμβανε, ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις παχυτέρα. ἐγὼ δὲ προσέθηκα πομφόλυγος δραχμὰς δ΄. καὶ λιβανωτοῦ δραχμὰς δ΄. ἄλλο Ζωσίμου ἐπιγραφόμενον εὐῶδες. ποιεῖ καὶ πρὸς περιωδυνίας καὶ προσφάτους διαθέσεις. ❡ καδμείας κεκαυμένης καὶ πεπλυμένης οἴνῳ Ἰταλικῷ, τουτέστι κατεσβεσμένης ‹ η΄. ἀλόης δραχμὰς η΄. στίμμεως ‹ η΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς η΄ ἢ β΄. κρόκου δραχμὰς β΄. σμύρνης δραχμὴν μίαν, νάρδου Ἰνδικῆς ‹ α΄. ὀπίου δραχμὴν μίαν, ἀκακίας δραχμὰς ιθ΄. κόμμεως δραχμὰς ιβ΄. ὕδωρ ὄμβριον.

12.754 Ἑρμείου ὀφθαλμικοῦ τὸ λουτρὸν, πρὸς τὰς μεγίστας ὀδύνας αὐθημερὸν τὸ μέγιστον. ποιεῖ καὶ πρὸς τὰς κεχρονισμένας ὀφθαλμίας. ❡ Ἀλόης δραχμὰς η΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιστ΄. ὀπίου ‹ ιστ΄. σμύρνης δραχμὰς ιβ΄. κρόκου δραχμὰς η΄. καδμείας ‹ δ΄. λιβανωτοῦ δραχμὰς γ΄. κόμμεως δραχμὰς ιστ΄. οἴνῳ Μενδησίῳ ἀναλάμβανε, ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις ὑδαρής. δεῖ δὲ ἐκ διαστημάτων τριῶν ἢ τεσσάρων ὡρῶν ἐγχυματίσαντας ἐᾷν μέχρι ἀποκαταστάσεως, καί ποτε λούεσθαι παραινεῖν.

Θεοδότιον φλακιανὸν, Ἀρποκράτιον ἐπιγραφόμενον, πρὸς τὰς μεγίστας ἐπιφορὰς καὶ περιωδυνίας, ἀπαλλάττει χωρὶς φλεβοτομίας. ❡ Ἀκακίας χυλοῦ δραχμὰς κδ΄. καδμείας ‹ η΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς η΄. στίμμεως ‹ ιστ΄. ἀλόης δραχμὰς δ΄. κρόκου ‹ γ΄. σμύρνης δραχμὰς γ΄. λυκίου Ἰνδικοῦ δραχμὰς β΄. καστορίου ‹ α΄. ὀπίου δραχμὰς β΄. κόμμεως δραχμὰς κδ΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις παχυτέρα, τὸ κολλύριον οἰδημάτων τοῖς βλεφάροις ἐπιφέρει.

12.755 Σκυλάκιον, αὐθημερὸν φάρμακον ἐπιτετευγμένον παραχρῆμα λύει τὰς φλεγμονάς. ❡ Στίμμεως δραχμὰς μ΄. ἀκακίας ‹ μ΄. καδμείας δραχμὰς ιστ΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιδ΄. ψιμμυθίου δραχμὰς η΄. σμύρνης ‹ δ΄. νάρδου Ἰνδικῆς δραχμὰς δ΄. κρόκου ‹ β΄. λυκίου Ἰνδικοῦ δραχμὰς δ΄. καστορίου δραχμὰς β΄. ἀλόης δραχμὰς β΄. ὀπίου δραχμὰς β΄. χαλκίτεως ὀπτῆς δραχμὰς β΄. κόμμεως δραχμὰς β΄. ἀναλάμβανε ῥόδων ἀφεψήματι, ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις παχυτέρα.

Τὸ τοῦ Νεαπολίτου φανίον πρὸς τὰς μεγίστας ἐπιφορὰς καὶ πρὸς περιωδυνίας, ποιεῖ καὶ πρὸς διαθέσεις. ⳨ Καδμείας πεπλυμένης δραχμὰς η′. ἀκακίας δραχμὰς η′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ στ′. στίμμεως πεπλυμένου δραχμὰς κ′. ψιμυθίου δραχμὰς στ′. σμύρνης δραχμὰς β′. ἀλόης δραχμὰς β′. νάρδου Κελτικῆς ‹ α′ ′′. ὀπίου ‹ α′ ′′. κρόκου δραχμὴν μίαν, καστορίου ‹ τὸ ἥμισυ, κόμμεως δραχμὰς κ′, ὕδωρ ὄμβριον χρῶ ἐπαλείφων. ἄλλο φανίον σαραπιακὸν ἐπιγραφόμενον. ⳨ ἀκακίας δραχμὰς μ′. στίμμεως δραχμὰς μ′. καδμείας δραχμὰς ιστ′.
12.756 χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιβ′. ἀλόης δραχμὰς γ′. σμύρνης δραχμὰς δ′. ψιμυθίου δραχμὰς ιβ′. ὀπίου δραχμὰς β′. κρόκου δραχμὰς β′. νάρδου Ἰνδικῆς ‹ α′ ′′. κόμμεως δραχμὰς κε′. ὕδωρ ὄμβριον, χρῶ ἐπαλείφων.

Μαλαβάθρινον ἡμέτερον, ποιεῖ πρὸς περιωδυνίας καὶ διαθέσεις ἐν ταῖς παρακμαῖς. ⳨ Καδμείας δραχμὰς ιστ′. ἀκακίας ‹ μ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιδ′. ὀπίου δραχμὰς β′. λυκίου Ἰνδικοῦ δραχμὰς β′. σμύρνης δραχμὰς δ′. μαλαβάθρου δραχμὰς β′. νάρδου Ἰνδικῆς ‹ β′. καστορίου δραχμὰς β′. ἀλόης δραχμὰς β′. ψιμυθίου ‹ η′. στίμμεως πεπλυμένου δραχμὰς η′. κόμμεως ‹ μ′. ὕδατι ἡ χρῆσις δι᾽ ὠοῦ, ἐν ἀρχῇ τῶν διαθέσεων καὶ ἐν παρακμῇ γιγνομένου ἀπὸ μέρους τοῦ λεγομένου παγχρήστου. ἀναγέγραπται δὲ τοῦτο ἐν τοῖς δακνηροῖς κολλυρίοις. ἄλλο φιλαδέλφιον ἐπιγραφόμενον, ποιεῖ πρὸς τὰς τῶν φλεγμονῶν παρακμὰς καὶ ἕλκη ῥυπαρὰ καὶ φλυκταινῶν ἐπαναστάσεις, παραχρῆμα ὠφελεῖ. ⳨ στίμμεως κεκαυμένου καὶ πεπλυμένου δραχμὰς κ′. μολύβδου
12.757 κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ι′. καδμείας δραχμὰς η′. ἀκακίας ‹ β′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς γ′. ἀλόης ‹ γ′. ψιμυθίου δραχμὰς γ′. λυκίου Ἰνδικοῦ ‹ β′ ′′. σμύρνης ‹ β′ ′′. νάρδου Ἰνδικῆς δραχμὰς β′. κρόκου ‹ β′. καστορίου δραχμὴν μίαν, ὀπίου ‹ α′. κόμμεως δραχμὰς η′. ὕδωρ καὶ πρὸς τὴν ἀνάληψιν ὠῶν ι′. κολλύριον τὸ λευκὸν, πρὸς ἐπιφορὰς καὶ διαθέσεις ἐπιγράφεται τρυφερόν. ⳨ καδμείας πεπλυμένης ‹ ιστ′. ψιμυθίου δραχμὰς η′. ἀμύλου ‹ δ′. κόμμεως ‹ δ′. τραγακάνθης δραχμὰς δ′. ὀπίου ‹ β′. ὕδατι ὀμβρίῳ ἀναλάμβανε. ἡ χρῆσις δι᾽ ὠοῦ. τὸ διὰ γῆς Σαμίας τέρεννον ἐπιγραφόμενον, πρὸς ἐπιφορὰς καὶ διαθέσεις. ⳨ καδμείας πεπλυμένης δραχμὰς ιβ′. ψιμυθίου ‹ ιβ′. γῆς

Σαμίας δραχμὰς ιβ′. ὀπίου ‹ α′. κόμμεως δραχμὰς δ′. ὕδατι ἀναλάμβανε, ἡ χρῆσις δι᾽ ὠοῦ. ἄλλο ἀνώδυνον πρὸς ῥεῦμα παντοῖον, ἕλκη, περιωδυνίας, ψύδρακας, προπτώσεις, χημώσεις, παντοίας διαθέσεις. ⁋ ψιμυθίου δραχμὰς η′. γῆς Σαμίας δραχμὰς η′. σποδοῦ πομφόλυγος ‹ ιβ′.
12.758 τραγακάνθης δραχμὰς β′. ὀπίου ‹ β′. κόμμεως ‹ δ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ.

Ἄλλο, Διόκλειον ἐπιγραφόμενον πρὸς περιωδυνίας καὶ ἐπιφοράς, ὑποπύους ὀφθαλμοὺς, φλυκτίδας, ἕλκη, τοῦτο τὸ φάρμακόν ἐστι τρυφερώτερον. ⁋ Τραγακάνθης δραχμὰς η′. κόμμεως ‹ δ′. ἀμύλου δραχμὰς δ′. σποδοῦ πομφόλυγος ‹ ιστ′. ψιμυθίου ‹ η′. ὀπίου πεφωγμένου δραχμὰς β′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι᾽ ὠοῦ. τὸ διὰ λιβάνου φάρμακον ἐπιτετευγμένον πρὸς ῥεύματα καὶ χημώσεις. ⁋ καδμείας δραχμὰς κ′. λιβάνου ‹ κ′. ψιμυθίου δραχμὰς μ′. ὀπίου ‹ στ′. κόμμεως δραχμὰς στ′. ὕδατι ὀμβρίῳ. ἡμεῖς δὲ οὕτως ἐσκευάσαμεν. ⁋ καδμείας ‹ δέκα, πομφόλυγος δραχμὰς ι′. λιβάνου ‹ ι′. ψιμυθίου δραχμὰς μ′. ὀπίου ‹ στ′. κόμμεως δραχμὰς στ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ.

Ἄλλο, τρυφερὸν ἐπιγραφόμενον, πρὸς ἐπικαύματα, φλυκταίνας, χημώσεις καὶ μάλιστα ἐπὶ τῶν μηδ᾽ ἡντιναοῦν δῆξιν ὑπομένειν
12.759 δυναμένων. ⁋ Καδμείας πεπλυμένης ‹ η′. ἀμύλου δραχμὰς η′. λιβάνου δραχμὰς η′. ψιμμυθίου ‹ μη′. ὀπίου δραχμὰς στ′. κόμμεως δραχμὰς ιστ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δεδήλωται.

Ὁ κύκνος ἐπιγραφόμενος, ὁ τῆς βασιλίσσης πρὸς τὰς μεγίστας περιωδυνίας καὶ διαθέσεις. ⁋ Καδμείας δραχμὰς ιστ′. ψιμυθίου πεπλυμένου δραχμὰς η′. ἀμύλου ‹ β′. τραγακάνθης δραχμὰς β′. ἀκακίας δραχμὰς β′. ὀπίου ‹ β′. κόμμεως ‹ ιβ′. ἀναλάμβανε ὕδατι ὀμβρίῳ καὶ πρὸς τὴν ἀνάληψιν ἐπίβαλε ὠῶν ὠμῶν προσφάτων τεσσάρων λευκά. Ἀερίανον, Διομήδους ἐπιγραφόμενον, κολλύριον ἐπιτετευγμένον πρὸς ἐπιφορὰς καὶ παλαιὰς διαθέσεις καὶ προσφάτους. ⁋ σποδοῦ πομφόλυγος ‹ η′. ψιμυθίου δραχμὰς κ′. ἰοῦ ‹ δ′. σμύρνης δραχμὰς ιδ′. λιβάνου δραχμὰς γ′. ὀπίου ‹ γ′. κόμμεως δραχμὰς η′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ. κύκνος διὰ γῆς Σαμίας, πρὸς ἕλκη παντοῖα, πρὸς ἐπιφορὰς, περιωδυνίας, ὑπόπυα ὀφθαλμοῦ. ⁋ σποδοῦ πεπλυμένης ‹ ιστ′. ψιμυθίου

πεπλυμένου δραχμὰς η′. γῆς Σαμίας ‹ δ′. ἀμύλου ‹ δ′. ἀκακίας ‹ δ′. ὀπίου
12.760 δραχμὰς δ′. κόμμεως ‹ δ′. τραγακάνθης ‹ β′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι᾽ ὠοῦ. ἄλλο, Διονυσίου ἐπιγραφόμενον. ⁂ ψιμυθίου δραχμὰς λη′. ἰοῦ σκώληκος ‹ ιστ′. μηκωνείου ‹ η′. κόμμεως δραχμὰς δ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις διὰ γάλακτος. Ἀερίανον ἡμέτερον φάρμακον ἐπιτετευγμένον, πρὸς παλαιὰς διαθέσεις καὶ προσφάτους. ⁂ ψιμυθίου ‹ κδ′. καδμείας κεκαυμένης καὶ πεπλυμένης δραχμὰς ι′. στίμμεως κεκαυμένου καὶ πεπλυμένου ‹ ι′. λιβάνου δραχμὰς ι′. λεπίδος χαλκοῦ δραχμὰς ε′. ὀπίου ‹ γ′. σμύρνης δραχμὰς γ′. κόμμεως δραχμὰς ιβ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ. κολλύριον Γενναδίου. ⁂ ψιμυθίου ‹ ιη′. στίμμεως δραχμὰς ιβ′. σμύρνης δραχμὰς ιβ′. λεπίδος χαλκοῦ ‹ ιβ′. ὀπίου ‹ στ′. κόμμεως δραχμὰς κδ′. ὕδωρ ὄμβριον. τὸ διὰ γῆς Σαμίας Πακκίου ὀφθαλμικοῦ, πρὸς τὰς ἐπιτεταμένας διαθέσεις. ⁂ καδμείας δραχμὰς ιστ′. ψιμυθίου ‹ ιστ′. Σαμίας γῆς δραχμὰς δ′. ὀπίου ‹ β′. λιβάνου δραχμὰς β′. στίμμεως ‹ ε′. κόμμεως
12.761 δραχμὰς ε′. ὕδατι ἀναλάμβανε. ἡ χρῆσις δι᾽ ὠοῦ. θερινὸν ἐπιγραφόμενον. ⁂ καδμείας κεκαυμένης καὶ πεπλυμένης δραχμὰς κ′. ἀκακίας ‹ β′. γῆς Σαμίας ‹ κ′. ψιμμυθίου δραχμὰς κ′. λεπίδος χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιβ′. φλοιοῦ λιβάνου ‹ β′. τραγακάνθης δραχμὰς ε′. κόμμεως δραχμὰς ιστ′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι᾽ ὠοῦ.

Κολλύριον ὑγείδιον λεγόμενον. ⁂ Καδμείας δραχμὰς η′. σμύρνης ‹ η′. ἀκακίας ‹ στ′. ὀπίου ‹ β′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς β′. κόμμεως δραχμὰς στ′. ἐρείκης καρποῦ ‹ α′. ὕδωρ ὄμβριον.

Ἀνίκητος ἀστὴρ πρὸς περιωδυνίας, φλυκτίδας, σταφυλώματα, ἕλκη ῥυπαρὰ καὶ νεμόμενα. ποιεῖ καὶ πρὸς κεχρονισμένας διαθέσεις καὶ οὐλὰς ἀποσμήχει. ⁂ Καδμείας κεκαυμένης καὶ πεπλυμένης δραχμὰς ιστ′. ψιμυθίου πεπλυμένου δραχμὰς ιστ′. ἀμύλου ‹ ιβ′. στίμμεως κεκαυμένου δραχμὰς ιβ′. σποδοῦ ‹ η′. μολύβδου κεκαυμένου καὶ πεπλυμένου δραχμὰς η′. γῆς Σαμίας ‹ η′. σμύρνης δραχμὰς β′. ὀπίου ‹ β′. τραγακάνθης ‹ η′. ὕδωρ ὄμβριον.

12.762 Λιβιανὸν ἐπιγραφόμενον πρὸς φλυκτίδας, ἐπικαύματα, ῥήξεις, κοιλώματα, ὑποπύους ὀφθαλμοὺς, χημώσεις, σταφυλώματα. ποιεῖ καὶ πρὸς περιωδυνίας καὶ διαθέσεις καὶ οὐλὰς ἀποσμήχει. ⁂ Καδμείας

κεκαυμένης καὶ πεπλυμένης ‹ ιστ΄. ψιμυθίου πεπλυμένου δραχμὰς ιστ΄. στίμμεως κεκαυμένου καὶ πεπλυμένου ‹ ιστ΄. μολύβδου κεκαυμένου καὶ πεπλυμένου δραχμὰς η΄. ἀμύλου ‹ ιβ΄. σποδοῦ πομφόλυγος δραχμὰς η΄. σμύρνης ‹ η΄. γῆς ἀστέρος δραχμὰς η΄. τραγακάνθης ‹ η΄. ὀπίου δραχμὰς β΄. ὕδωρ ὄμβριον καὶ πρὸς τῇ ἀναλήψει ὠῶν κ΄. τὰ λευκά. ἄλλο τὸ Λιβιανόν. ⁊ πομφόλυγος δραχμὰς η΄. καδμείας κεκαυμένης καὶ πεπλυμένης ‹ ιστ΄. στίμμεως κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιβ΄. ψιμυθίου πεπλυμένου δραχμὰς ιστ΄. ἀμύλου ‹ ιβ΄. γῆς Σαμίας ‹ η΄. μολύβδου κεκαυμένου καὶ πεπλυμένου ‹ η΄. σμύρνης ‹ β΄. ὀπίου δραχμὰς β΄. τραγακάνθης ‹ β΄. ὕδωρ ὄμβριον.

Τὸ διὰ τοῦ ἐλαφείου κέρατος πρὸς ἕλκη, φλυκτίδας, οὐλὰς ἀποσμήχει. ⁊
12.763 Κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου ‹ δ΄. λιβάνου δραχμὰς δ΄. μολύβδου κεκαυμένου καὶ πεπλυμένου ‹ δ΄. λεπίδος χαλκοῦ πεπλυμένης δραχμὰς β΄. ὀπίου δραχμὴν μίαν, κόμμεως ‹ δ΄. ὕδωρ ὄμβριον. ἄλλο δι᾽ ἐλάφου κέρατος τοῦ Νεαπολίτου. ⁊ μολύβδου κεκαυμένου καὶ πεπλυμένου ‹ ιστ΄. κέρατος ἐλαφείου κεκαυμένου δραχμὰς ιστ΄. λιβάνου ‹ η΄. ἀκακίαν δραχμὰς η΄. σποδοῦ Κυπρίου δραχμὰς η΄. ἀμύλου ‹ δ΄. ὀπίου δραχμὰς β΄. λεπίδος χαλκῆς ‹ β΄. κρόκου δραχμὰς η΄. σμύρνης ‹ δ΄. τραγακάνθης δραχμὴν μίαν, κόμμεως ‹ η΄. ὑοσκυάμου ἀποβρέγματι ἀναλάμβανε. χλωρὸν πρὸς διαθέσεις. ⁊ σποδοῦ Κυπρίου ‹ ιστ΄. ἀμύλου ‹ ιστ΄. κρόκου δραχμὰς η΄. στίμμεως ‹ η΄. ὀπίου ‹ δ΄. κόμμεως ‹ δ΄. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι᾽ ὠοῦ. ἄλλο χλωρὸν Ζωΐλου ὀφθαλμικοῦ. ⁊ σποδοῦ Κυπρίας δραχμὰς η΄. κρόκου ‹ η΄. ἀμύλου δραχμὰς η΄. ὀπίου δραχμὰς β΄. στίμμεως ‹ η΄. κόμμεως δραχμὰς δ΄. ἀναλάμβανε ἀναγαλλίδος χυλῷ. ἄλλο ἐν ἄλλαις γραφαῖς ἔχει οὕτω, Ζωΐλου τὸ χλωρόν. ⁊ καδμείας κεκαυμένης καὶ πεπλυμένης καὶ οἴνῳ Ἰταλικῷ κατεσβεσμένης ‹ η΄.
12.764 κρόκου ‹ δ΄. στίμμεως κεκαυμένου καὶ γάλακτι κατεσβεσμένου δραχμὰς δ′. ἀμύλου δραχμὴν μίαν, κόμμεως δραχμὰς β′. ἀναλάμβανε χυλῷ ἀναγαλλίδος τῆς τὸ κυανὸν ἄνθος ἐχούσης.

Ἐκ τῶν Σκριβωνίου Λάργου τὸ ψιττάκιον ἐπιγραφόμενον, πρὸς περιωδυνίας, φλυκτίδας, ἐπικαύματα, οὐλὰς ἀναλυομένας, προπτώσεις, συγχύσεις, ὅπου πολλὴ αἵματος παρέγχυσις θεωρεῖται. χρήσιμον δέ ἐστι

καὶ πρὸς τὰς ἄλλας διαθέσεις, καὶ μάλιστα ἐπὶ τῶν εὐαισθήτων ὀφθαλμῶν, ἐφ᾽ ὧν δάκρυον λεπτὸν ἀποκρίνεται. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ⁋ Καδμείας δραχμὰς η΄. κρόκου ⸂ η΄. στίμμεως ⸂ η΄. ἀμύλου προσφάτου δραχμὰς η΄. ὀπίου ⸂ δ΄. κόμμεως ⸂ δ΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ. τὸ τοῦ Ναυκρατίτου πρὸς διαθέσεις φάρμακον ἐπιτετευγμένον. ⁋ καδμείας ⸂ ιβ΄. κρόκου δραχμὰς ιβ΄. ὀπίου ⸂ στ΄. λεπίδος στομώματος κεκαθαρμένης δραχμὰς ε΄. λεπίδος χαλκοῦ ⸂ στ΄. ῥόδων χυλοῦ δραχμὰς ιστ΄. μολύβδου κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ε΄. σμύρνης ⸂ γ΄. νάρδου δραχμὰς β΄. ἀκακίας δραχμὰς β΄. κόμμεως ⸂ ιβ΄. ὕδωρ ὄμβριον.
12.765 Ἀνθαίου τὸ χλωρόν. ⁋ καδμείας ⸂ μη΄. σμύρνης δραχμὰς κδ΄. κρόκου ⸂ μη΄. ὀπίου δραχμὰς κδ΄. μολύβδου κεκαυμένου καὶ πεπλυμένου δραχμὰς η΄. λεπίδος χαλκοῦ δραχμὰς στ΄. νάρδου Ἰνδικῆς ⸂ στ΄. ἀκακίας ⸂ στ΄. κόμμεως ⸂ κδ΄. ὕδωρ ὄμβριον. τὸ διὰ χαλβάνης πρὸς περιωδυνίας καὶ ὀφθαλμίας, ᾧ ἐχρήσατο Νικήτης. ⁋ καδμείας δραχμὰς η΄. σποδοῦ Κυπρίας ⸂ η΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ⸂ η΄. ὀπίου δραχμὰς η΄. σμύρνης ⸂ η΄. χαλβάνης δραχμὰς η΄. ὕδατι ἀναλάμβανε τὸ φάρμακον. τῶν ἄγαν ἐστὶ πεπιστευμένων, ἔχει δὲ καὶ κόμμεως ⸂ η΄. ἐν ἄλλαις γραφαῖς σπόδιον οὐκ ἔχει. ἄλλο. ⁋ καδμείας ⸂ ιστ΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ⸂ η΄. σμύρνης, χαλβάνης ἀνὰ ⸂ η΄. ὀπίου ⸂ η΄. χαλκάνθης ⸂ στ΄. κόμμεως ⸂ στ΄. ὕδατι ὀμβρίῳ.

Διάρροδον Νείλου, ὡς Ἀνδρέας πρὸς περιωδυνίας, ῥεῦμα πολὺ καὶ λεπτὸν, φλυκτίδας, προπτώσεις. ⁋ Ῥόδων φύλλων χωρὶς τῶν λοβῶν δραχμὰς δ′. κρόκου δραχμὰς β′. ὀπίου ὀβολὸν α′. νάρδου Ἰνδικῆς
12.766 ὀβολὸν α′. κόμμεως δραχμὰς γ΄. ἐν ἄλλῳ κόμμεως ⸂ α΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις ἀνειμένη. ἄλλο διάρροδον Νείλου, ᾧ ἐχρήσατο Γαλλίων ὁ ὀφθαλμικός. ⁋ ῥόδων δραχμὰς δ΄. κρόκου ⸂ β΄. ἀκακίας ⸂ α΄. ὀπίου ὀβολὸν α΄. νάρδου Ἰνδικῆς ὀβολὸν ἕνα, κόμμεως δραχμὰς γ΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ, ἡ κρᾶσις ἀνειμένη. ἄλλο διάρροδον, ὡραῖον λεγόμενον πρὸς τὰς αὐτὰς διαθέσεις. ⁋ ῥόδων ὠνυχισμένων δραχμὰς κδ΄. κρόκου δραχμὰς ιβ΄. ἀμύλου ⸂ στ΄. βαλαυστίου δραχμὰς δ΄. ὀπίου δραχμὰς δ΄. τραγακάνθης ⸂ η΄. ὑοσκυάμου τῶν φύλλων τῷ χυλῷ ἀναλάμβανε. ἐν τῷ διδασκάλου τε καὶ Ἰωάννου βιβλίῳ γέγραπται τῷ κυπαρίσσου χυλῷ. ἄλλο. ⁋ ῥόδων ⸂ η΄. κρόκου δραχμὰς δ΄. χαλκοῦ

κεκαυμένου καὶ πεπλυμένου ‹ α′. κόμμεως ‹ α′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ. διάρροδον Τερεντίου διὰ τῆς πομφόλυγος. ⳨ ῥόδων ἀπαλῶν ‹ ιβ′. σποδοῦ Κυπρίας δραχμὰς δ′. κρόκου ‹ δ′. ὀπίου δραχμὰς δ′. νάρδου δραχμὰς δ′. κόμμεως δραχμὰς δ′. ὕδατι ὀμβρίῳ. ἄλλο διάρροδον. ⳨
12.767 ῥόδων ἀπαλῶν δραχμὰς β′. κρόκου δραχμὰς στ′. σποδοῦ Κυπρίου ‹ β′. ἀμύλου δραχμὰς β′. ἀκακίας δραχμὴν μίαν, νάρδου Ἰνδικῆς ‹ α′. κόμμεως δραχμὰς ιβ′. τραγακάνθης ‹ α′. ὕδατι ὀμβρίῳ. διάρροδον εὐελπιδίου, διάσμυρνον ἐπικαλούμενον. ⳨ ῥόδων ‹ ρ′. κρόκου δραχμὰς ν′. ὀπίου δραχμὰς η′. σμύρνης δραχμὴν μίαν ′′. κόμμεως δραχμὰς ν′. οἴνῳ εὐώδει. ἡ χρῆσις δι᾽ ὠοῦ. ἄλλο διάρροδον. ⳨ ῥόδων ‹ ρ′. κρόκου δραχμὰς ν′. ὀπίου δραχμὰς η′. σμύρνης ‹ ν′. κόμμεως ‹ η′. οἴνῳ εὐώδει, ἡ χρῆσις δι᾽ ὠοῦ. ἐγὼ τοῦτο ἐπεσκεύασα, ἀντὶ τῶν φύλλων τῶν ῥόδων, ἐμβάλλων ῥόδων ἄνθους ‹ β′. καὶ ὤφθη δαιμονίως ποιοῦν.

Διάρροδον τὸ διὰ τῶν οβ′. τὸ μέγα λεγόμενον, ἐχρήσατο τούτῳ Λεύκιος ὁ καθηγητὴς πρὸς περιωδυνίας, φλυκτίδας, ἐπικαύματα, σταφυλώματα, προπτώσεις, πρὸς ὑποπύους ὀφθαλμοὺς, πρὸς ῥεύματα παλαιὰ, κεχρονισμένας ὀφθαλμίας καὶ δυσαπαλλάκτους διαθέσεις. ⳨ Ῥόδων χλωρῶν χωρὶς τῶν λοβῶν δραχμὰς οβ′. καδμείας κεκαυμένης καὶ
12.768 πεπλυμένης δραχμὰς κδ′. κρόκου δραχμὰς ξ′. ὀπίου ‹ γ′. στίμμεως δραχμὰς γ′. οἱ δὲ ‹ στ′. ἰοῦ ‹ β′. οἱ δὲ δραχμὰς γ′. λεπίδος χαλκοῦ ‹ β′. νάρδου Ἰνδικῆς δραχμὰς β′. σμύρνης ‹ στ′. οἱ δὲ δραχμὰς δ′. κόμμεως δραχμὰς κδ′. ὕδατι ὀμβρίῳ ἀναλάμβανε. ἄλλο διὰ τῶν οβ′. ⳨ ῥόδων ‹ οβ′. καδμείας κεκαυμένης καὶ πεπλυμένης δραχμὰς κδ′. κρόκου ‹ στ′. οἱ δὲ η′. ὀπίου δραχμὰς γ′. στίμμεως ‹ γ′. σμύρνης ‹ γ′. λεπίδος χαλκοῦ ‹ β′. ἰοῦ ‹ β′. νάρδου ‹ α′. οἱ δὲ β′. κόμμεως ‹ κδ′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις διὰ τοῦ γάλακτος. τὸ διὰ τῶν λευκοΐων φάρμακον ἐπιτετευγμένον πρὸς ἐπιφορὰς καὶ διαθέσεις. ⳨ ἀκακίας δραχμὰς μη′. λευκοΐων χυλοῦ ‹ μη′. σποδοῦ Κυπρίας ‹ κδ′. κρόκου δραχμὰς κδ′. σμύρνης ‹ δ′. ὀπίου ‹ δ′. οἱ δὲ στ′. ὑοσκυάμου χυλοῦ ‹ δ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς δ′. κόμμεως ‹ δ′. οἴνῳ Φαλερίνῳ.

Κολλύριον ᾧ ἐχρήσατο Φλῶρος ἐπὶ Ἀντωνίας τῆς Δρούσου μητρὸς, παρ᾽ ὀλίγον ὑπὸ τῶν ἄλλων ἰατρῶν πηρωθείσης. ⳨ Ἀκακίας δραχμὰς μη′.

12.769 ῥόδων ξηρῶν ⟨ μη΄. μελιλώτων δραχμὰς μη΄. σποδοῦ Κυπρίας ⟨ κδ΄. μανδραγόρου μήλων δραχμὰς β΄. κρόκου ⟨ κδ΄. ὀπίου δραχμὰς στ΄. ὑοσκυάμου σπέρματος ὀξύβαφα β΄. ἐν ἄλλῳ ⟨ κδ΄. σμύρνης δραχμὰς δ΄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ⟨ δ΄. κόμμεως ⟨ μ΄. οἴνου Φαλερίνου, ὕδατος ὀμβρίου ἀνὰ κοτύλας γ΄. τὸν οἶνον καὶ τὸ ὕδωρ μίξας καὶ τούτοις ἐπιβαλὼν ῥόδα, μελίλωτον, ὑοσκυάμου σπέρμα, μανδραγόρου τὰ μῆλα. εἰ δὲ μή γε, τὸν φλοιὸν ἔα βρέχεσθαι ἐπὶ ἡμέρας γ΄, ἢ πέντε. ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας χρῶ πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν, καὶ ἀναπλάσας χρῶ ὡς δοκιμωτάτῳ.

Μήλινον τρυφερὸν ποιοῦν πρὸς τοὺς μηδ᾽ ἡντιναοῦν δῆξιν φαρμάκων ὑπομένοντας, ποιοῦν πρὸς φλυκτίδας, προπτώσεις, ῥεῦμα δριμὺ καὶ πολὺ καὶ ἐπικαύματα καὶ πρὸς τὰς προσφάτους διαθέσεις. ⁋ Καδμείας κεκαυμένης καὶ γάλακτι ἐσβεσμένης ⟨ ιστ΄. ψιμυθίου πεπλυμένου δραχμὰς η΄. κρόκου ⟨ δ΄. ὀπίου ⟨ α΄. τραγακάνθης δραχμὰς β΄. ὕδατι
12.770 ὀμβρίῳ, ἡ χρῆσις δι᾽ ὠοῦ. ἄλλο πρὸς ἐπικαύματα, φλυκτίδας, προπτώσεις, περιωδυνίας. ⁋ ψιμυθίου δραχμὰς κδ΄. ἀμύλου ⟨ ιβ΄. καδμείας πεπλυμένης ⟨ ι΄. λιβάνου δραχμὰς ι΄. κρόκου ⟨ η΄. ὀπίου δραχμὰς η΄. κόμμεως ⟨ ι΄. τραγακάνθης ⟨ β΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὠοῦ. διάρροδον ἀνέγκλητον. ⁋ καδμείας κεκαυμένης καὶ πεπλυμένης ⟨ κδ΄. ψιμυθίου δραχμὰς ιβ΄. ὀπίου ⟨ στ΄. ῥόδων ἄνθους ⟨ στ΄. κρόκου δραχμὰς στ΄. λίθου σχιστοῦ ⟨ ιβ΄. κόμμεως ⟨ ι΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις πρὸς μὲν τὰ ῥυπαρὰ τῶν ἑλκῶν διὰ γάλακτος, πρὸς δὲ τὰ καθαρὰ δι᾽ ὠοῦ. ἄλλο. ⁋ καδμείας κεκαυμένης καὶ πεπλυμένης ⟨ κδ΄. ψιμυθίου δραχμὰς ιβ΄. λίθου σχιστοῦ ⟨ δ΄. ῥόδων ἄνθους δραχμὰς στ΄. κρόκου ⟨ στ΄. ὀπίου δραχμὰς στ΄. κόμμεως ⟨ στ΄. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις πρὸς μὲν τὰ ῥυπαρὰ τῶν ἑλκῶν διὰ γάλακτος, πρὸς δὲ τὰ καθαρὰ δι᾽ ὠοῦ.

Κροκῶδες παιδικὸν ἐπιγραφόμενον τὸ διὰ τῆς πομφόλυγος, πρὸς ἐπιφορὰς καὶ περιωδυνίας καὶ τὰς ἐκ πληγῶν διαθέσεις. ⁋ Σποδοῦ πομφόλυγος δραχμὰς ιστ΄. κρόκου ⟨ ιστ΄. ὀπίου δραχμὰς ιστ΄.
12.771 τραγακάνθης ⟨ η΄. ὕδατι ὀμβρίῳ, καὶ πρὸς τῇ ἀναλήψει ὠῶν τεσσάρων τὸ λευκόν. κολλύριον Γαΐου ὀφθαλμικοῦ. ⁋ σποδοῦ Κυπρίας δραχμὰς δ΄. ἀμύλου προσφάτου δραχμὰς ιβ΄. κρόκου ⟨ β΄. σμύρνης ⟨ α΄. μανδραγόρου

χυλοῦ ‹ α′. κόμμεως δραχμὰς δ′. ὕδατι ὀμβρίῳ, ἡ χρῆσις δι’ ὠοῦ. Ἀτιμητροῦ λυσιπόνιον. ⁋ χαλκάνθης ὠμῆς δραχμὰς μ′. πομφόλυγος ὠμῆς δραχμὰς μ′. ψιμυθίου δραχμὰς κδ′. ὀπίου ‹ β′. κρόκου δραχμὰς δ′. τὸ κρόκον εἰς ὕδωρ βάλλεται καὶ ἀποβρέχεται καὶ τῷ ἀποβρέγματι σκευάζεται τὸ κολλύριον. τὸ δ’ ὑπολειφθὲν τοῦ κρόκου λεαίνεται καὶ μίγνυται τοῖς λοιποῖς, κόμμεως δραχμαῖς λβ′. Διομήδους λυσιπόνιον πρὸς περιωδυνίας παραχρῆμα λύει τοὺς πόνους. ⁋ χαλκάνθης ὠμῆς δραχμὰς λβ′. ψιμυθίου δραχμὰς λα′. σποδοῦ πομφόλυγος δραχμὰς ιστ′. κρόκου δραχμὰς ιστ′. λιβάνου ‹ η′. σμύρνης δραχμὰς β′. κόμμεως δραχμὰς ιστ′. ὕδωρ ὄμβριον. ἡ χρῆσις δι’ ὠοῦ. γενναῖόν ἐστι τὸ κολλύριον. τοῦ Ζωΐλου, ποιοῦν πρὸς τὰς παλαιὰς ὀφθαλμίας,

12.772 μυοκεφάλους, σταφυλώματα καὶ παλαιὰ ῥεύματα. ⁋ καδμείας δραχμὰς η . χαλκοῦ κεκαυμένου δραχμὰς η . ψιμμυθίου δραχμὰς δ . ἀλόης δραχμὴν μίαν . φύλλου κρόκου, χαλκίτεως ὀπτῆς, χαλκάνθου, ὀπίου λυκίου, ἀνὰ δραχμὴν μίαν, σμύρνης δραχμὰς β . ἀκακίας δραχμὰς κ . ναρδοστάχυος δραχμὴν μίαν . κόμμεως δραχμὰς κ . καστορίου δ . στίμμεως κεκαυμένου δραχμὰς η . ὕδωρ ὄμβριον.

Ἀσκληπιάδου Πακκίου πρὸς περιωδυνίας, ῥεῦμα λεπτὸν καὶ πολὺ ἐπίκαυμα, φλυκτίδας, ὑμένων ἐπαναστάσεις, τραχώματα, κεχρονισμένας διαθέσεις καὶ τοὺς ὑπὸ πολλῶν ἐγχρίσεων βλαβέντας, παραχρῆμα ὠφελεῖ. τὰ δὲ τῆς σκευασίας ἔχει οὕτως. ⁋ Καδμείας δραχμὰς ιβ′. χαλκοῦ κεκαυμένου ‹ ιβ′. κρόκου δραχμὰς ιβ′. λεπίδος χαλκοῦ κεκαυμένου ‹ ιβ′. σμύρνης δραχμὰς δ′. νάρδου Ἰνδικῆς ‹ δ′. ῥόδων ξηρῶν δραχμὰς δ′. ὀπίου ‹ δ′. λίθου αἱματίτου δραχμὰς δ′. πεπέρεως λευκοῦ κόκκους κδ′. κόμμεως δραχμὰς ιβ′. οἴνου Χίου τὸ αὔταρκες. ἡ χρῆσις δι’ ὠοῦ. ἐν ἄλλαις γραφαῖς ἔχει ῥόδων δραχμὰς γ′. πεπέρεως κόκκους κε′. τὸ

12.773 νεκτάριον ἐπιγραφόμενον φάρμακον ἐπιτετευγμένον. ⁋ καδμείας δραχμὰς ιβ′. λεπίδος Κυπρίας πεπλυμένης ‹ ιβ′. κρόκου δραχμὰς ιβ′. ὀπίου ‹ δ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιβ′. σμύρνης ‹ δ′. λίθου αἱματίτου ‹ δ′. ῥόδων ξηρῶν δραχμὰς δ′. ναρδοστάχυος ‹ δ′. μίσυος ὀπτοῦ δραχμὰς δ′. κασσίας σύριγγος ‹ δ′. πεπέρεως λευκοῦ κόκκους κε′. κόμμεως ‹ ιβ′. οἴνῳ χρῶ.

Ἀντιγόνου κροκῶδες λεοντάριον ἐπιγραφόμενον, ἐπειδή περ γλύμματι τούτῳ ἐσφραγίζετο, ποιεῖ πρὸς ἐπιφορὰς, περιωδυνίας, κεχρονισμένας διαθέσεις. ἔστι δὲ καὶ τοῖς τραχωματικοῖς ἀγαθὸν, οὐλὰς καὶ τύλους ἀποσμήχει, μάλιστα δὲ νηπίοις ἐστὶ χρήσιμον. ⁋ Σποδοῦ Κυπρίας ⸂ μη΄. κρόκου ⸂ κδ΄. σμύρνης δραχμὰς ιβ΄. λίθου αἱματίτου ⸂ η΄. ὀπίου δραχμὰς ιβ΄. πεπέρεως λευκοῦ κόκκους λστ΄. κόμμεως δραχμὰς π΄. οἴνῳ Φαλερίνῳ. ἄλλο. ⁋ σποδοῦ Κυπρίας δραχμὰς π΄. κρόκου δραχμὰς μ΄.
12.774 σμύρνης ⸂ κ΄. ὀπίου ⸂ κ΄. αἱματίτου λίθου ⸂ ιβ΄. πεπέρεως κόκκους ξ΄. κόμμεως δραχμὰς π΄. οἴνῳ Φαλερίνῳ.

Ἐκ τῶν Σκριβωνίου Λάργου, Μαχάωνος Ἀσκληπιὸς, πρὸς παλαιὰς διαθέσεις καὶ ὑποπύους ὀφθαλμούς. ⁋ Σποδοῦ πομφόλυγος δραχμὰς λβ΄. χαλκοῦ κεκαυμένου δραχμὰς λβ΄. κρόκου Σικελοῦ ⸂ ιστ΄. σμύρνης ⸂ στ΄. λίθου αἱματίτου δραχμὰς ι΄. νάρδου Ἰνδικῆς ⸂ στ΄. ὀπίου δραχμὰς στ΄. πεπέρεως κόκκους μ΄. οἴνῳ Χίῳ. ἐν τῷ Ἀθηνίππων Ἀσκληπιῶν ἔχει οὕτως, ὀπίου δραχμὰς η΄.

Εὐημέρου πρὸς περιωδυνίας καὶ διαθέσεις. ⁋ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ⸂ λβ΄. σποδοῦ πομφόλυγος ⸂ ιστ΄. κρόκου ⸂ ιστ΄. σμύρνης δραχμὰς η΄. λίθου αἱματίτου κεκαυμένου καὶ πεπλυμένου ⸂ η΄. ναρδοστάχυος δραχμὰς δ΄. μίσυος κεκαυμένου ⸂ δ΄. ὀπίου πεφωγμένου δραχμὰς δ΄. κόμμεως ⸂ ιστ΄. οἴνου Ἰταλικοῦ τὸ αὔταρκες.

Διάσμυρνον εὐῶδες Συνέρωτος, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς κεχρονισμένας διαθέσεις. ποιεῖ πρὸς ῥυάδας καὶ αἰγίλωπας. ⁋ Καδμείας
12.775 πεπλυμένης ⸂ κη΄. λίθου αἱματίτου κεκαυμένου καὶ πεπλυμένου ⸂ κε΄. σποδοῦ Κυπρίας ⸂ κδ΄. σμύρνης δραχμὰς μη΄. κρόκου δραχμὰς δ΄. ὀπίου Ἱσπανοῦ δραχμὰς η΄. πεπέρεως λευκοῦ κόκκους λ΄. κόμμεως ⸂ στ΄. οἴνῳ Ἰταλικῷ· ἡ χρῆσις δι᾽ ὠοῦ ἐπὶ τῶν προσφάτων καὶ ἡ κρᾶσις ὑδαρής. ἔνιοι κρόκου δραχμὰς ιβ′.

Αἱμάτινον Συνέρωτος τραχωματικὸν ἀγαθόν. ποιεῖ πρὸς τὰς παλαιὰς διαθέσεις καὶ πρὸς συκώματα καὶ πᾶσαν ἐξοχὴν, μιγνύμενον τῷ Συνέρωτος εὐώδει. ⁋ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ⸂ κδ΄. λίθου αἱματίτου ⸂ α΄. κρόκου ⸂ δ΄. ὀπίου ⸂ δ΄. κόμμεως ⸂ ιβ΄. ὄξει δριμυτάτῳ.

ἄλλο. ⁋ χαλκοῦ κεκαυμένου ‹ μη′. κρόκου δραχμὰς κδ′. ὀπίου ‹ δ′. κόμμεως Θηβαϊκῆς ‹ κδ′. πομφόλυγος δραχμὰς ιη′. σμύρνης ‹ ιη′. ἁλὸς ἀμμωνιακοῦ δραχμὰς ιβ′. λίθου αἱματίτου ‹ α′. ἰοῦ δραχμὰς δ′. οἴνῳ ἀναλάμβανε. τοῦ Ἱέρακος τραχωματικόν. ⁋ μίσυος κεκαυμένου δραχμὰς
12.776 η′. κρόκου ‹ η′. ὀπίου δραχμὰς η′. λίθου αἱματίτου πεπλυμένου ‹ η′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιβ′. σμύρνης ‹ ιβ′. κόμμεως ‹ ιβ′. ὄξει δριμυτάτῳ.

Ἀπολλωνίου σκυλάκιον ἐπισήμως ἰατρεύσαντος, τουτέστι τὸ ἱεράκιον κολλύριον τραχωματικόν· ἐπιγράφεται φοῖνιξ. ποιεῖ καὶ πρὸς μίλφους καὶ πρὸς κεχρονισμένας διαθέσεις ⁋ Λίθου αἱματίτου κεκαυμένου καὶ πεπλυμένου ‹ λβ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιστ′. ἰοῦ ξυστοῦ δραχμὰς ιστ′. ὀπίου ‹ η′. οἱ δὲ στ′. καδμείας βοτρυΐτιδος ‹ δ′. χαλκίτεως ὀπτῆς ‹ δ′. κόμμεως ‹ ιστ′. ὕδωρ ὄμβριον.

Ἄλλως ὁ Φοῖνιξ Ἀπολλωνίου, ὡς Ἄρειος Ἀσκληπιάδειος ἐνέγραψεν ἐν ταῖς ἰδίαις συναγωγαῖς τῶν φαρμάκων. ⁋ Λίθου αἱματίτου δραχμὰς κδ′. λίθου σχιστῆς κεκαυμένης καὶ πεπλυμένης ‹ κδ′. καδμείας ‹ ιβ′. χαλκοῦ κεκαυμένου δραχμὰς ιβ′. ὀπίου ‹ η′. χαλκίτεως ὀπτῆς δραχμὰς δ′. οἱ δὲ ‹ η′. ἐν ἄλλῳ καὶ ἰοῦ δραχμὰς ιβ′. κόμμεως δραχμὰς ιστ′. ὕδωρ ὄμβριον.

Ἄλλο κολλύριον τραχωματικόν. ⁋ Χαλκίτεως κεκαυμένης δραχμὰς ιβ′.
12.777 μίσυος κεκαυμένης καὶ πεπλυμένης ‹ η′. κρόκου, ὀπίου ἀνὰ δραχμὰς στ′. λίθου αἱματίτου ‹ η′. κόμμεως ‹ ιβ′. ὄξει δριμυτάτῳ.

Κολλύριον τραχωματικὸν, οὐλὰς καὶ τύλους ἀποσμήχει. ποιεῖ δὲ καὶ πρὸς κεχρονισμένας διαθέσεις. ⁋ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ κδ′. σποδοῦ πομφόλυγος ‹ ιστ′. σμύρνης ‹ ιστ′. ἁλὸς ἀμμωνιακοῦ ‹ ιβ′. λίθου αἱματίτου ‹ κδ′. ὀπίου ‹ δ′. πεπέρεως κόκκους ιβ′. ἐν ἄλλῳ κόκκους ιστ′. κόμμεως ‹ η′. οἴνῳ ἀναλάμβανε καὶ χρῶ.

Εὐημέρου, οὐλὰς καὶ τύλους ἀποσμήχει, ποιοῦν καὶ πρὸς κεχρονισμένας διαθέσεις. ⁋ Καδμείας ‹ ξ′. κρόκου δραχμὰς ν′. ναρδοστάχυος ‹ κ′. λεπίδος χαλκοῦ πεφωγμένου καὶ πεπλυμένου ‹ ν′. σμύρνης ‹ ν′. ὀπίου ‹ λ′. χαλκοῦ κεκαυμένου ‹ ξ′. μίσυος ὠμοῦ δραχμὰς ν′. κόμμεως ‹ ο′. οἴνῳ Χίῳ ἀναλάμβανε.

Ἄλλο Πυράμου, οὐλὰς καὶ τύλους ἀποσμῆχον καταστέλλει πᾶσαν ἐξοχήν. ⁊ Καδμείας Κυπρίας ‹ μ′. λίθου αἱματίτου δραχμὰς μ′. χαλκοῦ κεκαυμένου ‹ μ′. μίσυος κεκαυμένου δραχμὰς κ′. κρόκου ‹ κ′.
12.778 ἀμμωνιακοῦ θυμιάματος δραχμὰς κ′. λεπίδος χαλκοῦ κεκαυμένης καὶ πεπλυμένης ‹ κ′. ὀπίου δραχμὰς κ′. σμύρνης ‹ κ′. κόμμεως λίτραν μίαν, ὄξει δριμυτάτῳ χρῶ.

Ἄλλο Εὐημέρου πρὸς τὰς αὐτὰς διαθέσεις. ⁊ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς κδ′. σποδοῦ πομφόλυγος δραχμὰς ιβ′. σμύρνης ‹ η′. ἁλὸς ἀμμωνιακοῦ δραχμὰς ιβ′. λίθου αἱματίτου ‹ δ′. πεπέρεως δραχμὰς ιβ′. κόμμεως δραχμὰς η′. οἴνου Χίου τὸ ἀρκοῦν.

Λυγκεὺς ἐπιγραφόμενον πρὸς τετυλωμένας διαθέσεις, ὀξυδερκὲς ἀγαθὸν, οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁊ Καδμείας ‹ ιβ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ ιβ′. ἀμμωνιακοῦ θυμιάματος ‹ ιβ′. σμύρνης ‹ ιστ′. λίθου αἱματίτου ‹ στ′. ὀπίου ‹ στ′. ἁλόης ‹ δ′. χολῆς ταυρείας ‹ δ′. χαλβάνης ‹ δ′. ἰοῦ ‹ α′. ὀποπάνακος ‹ δ′. ἁλὸς ἀμμωνιακοῦ ‹ β′. κόμμεως ‹ στ′. οἱ δὲ ‹ β′. ὕδωρ ὄμβριον.

Ῥίνημα ἐπιγραφόμενον. ποιεῖ πρὸς τετυλωμένας διαθέσεις καὶ οὐλὰς ἀποσμήχει, ποιεῖ καὶ πρὸς ὑποχύματα. ⁊ Καδμείας δραχμὰς μη ′.
12.779 ἀμμωνιακοῦ θυμιάματος δραχμὰς μη ′. χαλκοῦ κεκαυμένου ‹ μη′. ὀπίου δραχμὰς ιστ′. ἰοῦ Κυπρίου δραχμὰς ιστ′. ἁλόης ‹ ιστ′. σμύρνης δραχμὰς ιστ′. λίθου αἱματίτου δραχμὰς κδ′. χαλβάνης δραχμὰς ιδ′. ὀποπάνακος δραχμὰς ιη′. χολῆς ταυρείας ‹ η′. ἁλὸς ἀμμωνιακοῦ δραχμὰς δ′. κόμμεως δραχμὰς ξ′. ὕδωρ ὄμβριον. ἡ χρῆσις ὑδαρής.

Κολλύριον ἁρμάτιον ἐπιγραφόμενον, ᾧ ἐχρήσατο Πτολεμαῖος ὁ βασιλεὺς, σμηκτικὸν, οὐλὰς ἀποσμήχει. ἔστι δὲ καὶ ὀξυδερκικὸν καὶ τραχωματικὸν ἀγαθόν. ⁊ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ‹ η′. ἀμμωνιακοῦ θυμιάματος δραχμὰς η′. λίθου αἱματίτου ‹ η′. φλοιοῦ λιβάνου δραχμὰς η′. κόμμεως ‹ η′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὕδατος, ἐν ἄλλαις γραφαῖς ἔχει καὶ ἰοῦ δραχμὰς β′.

Τὸ διὰ τοῦ αἱματίτου ὀξυδερκικὸν οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁊ Ἀμμωνιακοῦ θυμιάματος δραχμὰς κδ ′. χαλκοῦ κεκαυμένου καὶ

πεπλυμένου δραχμὰς κδ΄. λίθου αἱματίτου δραχμὰς κδ΄. κόμμεως δραχμὰς κδ΄. ἰοῦ δραχμὰς η΄. ὕδωρ ὄμβριον.

12.780 Ἀρτεμώνιον ἐπιγραφόμενον, ᾧ ἐχρήσατο Βάσσος ὁ ἑταῖρος. ποιεῖ πρὸς τὰ χρόνια ῥεύματα καὶ πρὸς τὰς τῶν βλεφάρων τραχύτητας καὶ πρὸς τοὺς μυδῶντας καὶ βεβρωμένους κανθοὺς, καθύγρους ὀφθαλμοὺς καὶ τὰς τῶν ὑμένων ἐξοχάς· οὐλὰς καὶ τύλους ἀποσμήχει. τὸ δὲ μέγιστον τοῦ φαρμάκου τοῦτό ἐστι τὸ μετὰ τὰς ἐγχρίσεις ἀταράχους τοὺς ὀφθαλμοὺς διαφυλάττειν. Ⳋ Στίμμεως δραχμὰς δ΄. χαλκοῦ κεκαυμένου ‹ β΄. ψιμυθίου δραχμὰς β΄. κρόκου ‹ α΄. σμύρνης ‹ α΄. φλοιοῦ λιβάνου ‹ α΄. ἰοῦ σκώληκος ‹ α΄. κηκίδων ὀμφακίνων ‹ α΄. πεπέρεως λευκοῦ δραχμὴν μίαν, κόμμεως ‹ α΄. οἴνῳ ἀναλάμβανε, ἡ χρῆσις δι᾽ ὕδατος. ἄλλο φάρμακον ἐπιτετευγμένον. Ⳋ καδμείας δραχμὰς η΄. στίμμεως ‹ η΄. ψιμυθίου δραχμὰς η΄. χαλκοῦ κεκαυμένου δραχμὰς δ΄. φλοιοῦ λιβάνου δραχμὰς β΄. κρόκου ‹ β΄. σμύρνης δραχμὰς β΄. ἰοῦ σκώληκος δραχμὰς β΄. κηκίδων ὀμφακίνων ‹ β΄. πεπέρεως λευκοῦ ‹ α΄. κόμμεως δραχμὰς δ΄. οἴνῳ ἀναλάμβανε.

12.781 Κολλύριον Ἰνδικὸν ἀέρινον ἐπιγραφόμενον προκαταληπτικὸν ἁπάσης ὀφθαλμίας, ποιεῖ πρὸς ἀμβλυωπίας καὶ ψωρώδεις διαθέσεις καὶ πρὸς βεβρωμένους κανθοὺς καὶ οὐλὰς ἀποσμήχει. τὸ δὲ μέγιστον τοῦ φαρμάκου τοῦτό ἐστι τὸ μετὰ τὰς ἐγχρίσεις ἀταράχους τοὺς ὀφθαλμοὺς διαφυλάττειν. Ⳋ Ψιμυθίου Ῥοδιακοῦ δραχμὰς μη΄. καδμείας Κυπρίας ‹ κδ΄. μέλανος Ἰνδικοῦ δραχμὰς η΄. ὀπίου ‹ η΄. πεπέρεως λευκοῦ δραχμὰς η΄. ἢ στ΄. ὀποβαλσάμου ‹ η΄. ἢ στ΄. κόμμεως ‹ ιστ΄. κινναμώμου ‹ β΄. ἐν ἄλλῳ ‹ ιβ΄. ὕδατι ὀμβρίῳ.

Ἑρμοφίλου θαλασσερὸς κολλύριον ἐπιτετευγμένον πρὸς ὑποχύσεις καὶ πᾶσαν ἀμβλυωπίαν, ποιεῖ καὶ πρὸς ἀρχὰς ὑποχύσεως. ἔστι δὲ εὐωδέστατον φάρμακον. Ⳋ Καδμείας δραχμὰς ιστ΄. μέλανος Ἰνδικοῦ ‹ ιστ΄. πεπέρεως λευκοῦ δραχμὰς η΄. ἰοῦ ‹ δ΄. ὀπίου Μηδικοῦ ‹ δ΄. ὀποβαλσάμου ‹ δ΄. κόμμεως ‹ ιβ΄. ὕδατι ἀναλάμβανε. ἡ χρῆσις μεθ᾽ ὕδατος, ἡ κρᾶσις διαφέρουσα πρὸς τὰς διαθέσεις.

Πομπωνίου Βάσσου, ποιεῖ καὶ πρὸς ἀρχὰς ὑποχύσεως. ⁊ Καδμείας
12.782 δραχμὰς κζ′. μέλανος Ἰνδικοῦ ‹ ιστ′. πεπέρεως μακροῦ δραχμὰς ιστ′. πεπέρεως λευκοῦ δραχμὰς ιβ′. ὀποῦ Κυρηναϊκοῦ δραχμὰς ε′. ὀποβαλσάμου ‹ στ′. ναρδοστάχυος δραχμὰς στ′. σαγαπηνοῦ ‹ ε′. ὀποπάνακος ‹ ε′. ὀπίου δραχμὰς δ′. εὐφορβίου ‹ κινναμώμου δραχμὴν μίαν, κόμμεως δραχμὰς λ′. τὸ ὑγρὸν χυλῷ μαράθρου.

Ἰνδικὸν βασιλικὸν ἐπιγραφόμενον, ποιεῖ πρὸς ἀρχὰς ὑποχύσεως καὶ πᾶσαν ἀμβλυωπίαν καὶ οὐλὰς ἀποσμήχει. ⁊ Καδμείας κεκαυμένης καὶ πεπλυμένης λίτραν μίαν, γο δ′. μέλανος Ἰνδικοῦ δραχμὰς στ′. ψιμυθίου γο δ′. πεπέρεως λευκοῦ γο στ′. χολῆς ὑαίνης τὸ ὅλον ὅσον ἔχει. σκάρων χολὰς ι′. περδίκων χολὰς δ′. ὀποῦ μήκωνος γο α′. ὀποβαλσάμου γο β′. ὀποπάνακος γο β′. σαγαπηνοῦ γο β′. κόμμεως λίτραν α′. ἀναλάμβανε μαράθρου χυλῷ ἢ τῆς λεγομένης ἡρακλείας βοτάνης.

Ἕνστακτον Πακκίου, ὡς Θεμίσων. ⁊ Καδμείας δραχμὰς ξδ′. μίσυος δραχμὰς λβ′. χαλκάνθου δραχμὰς λβ′. στίμμεως δραχμὰς λβ′. πεπέρεως
12.783 λευκοῦ δραχμὰς λβ′. ὀπίου δραχμὰς ιστ′. ἰοῦ δραχμὰς ιστ′. ὀποβαλσάμου δραχμὰς ιστ′. κόμμεως δραχμὰς ξδ′. ὕδατι ὀμβρίῳ.

Τὸ χελιδόνιον ἐπιγραφόμενον. ⁊ Καδμείας δραχμὰς μη′. στίμμεως δραχμὰς ιβ′. μίσυος δραχμὰς η′. πεπέρεως ‹ λστ′. χαλκάνθου δραχμὰς στ′. ὀπίου δραχμὰς στ′. ὀποβαλσάμου ‹ τέσσαρας, κόμμεως δραχμὰς κδ′. ὕδατι ὀμβρίῳ.

Τὸ ἱεράκιον πρὸς ἀμβλυωπίαν καὶ ψωρώδεις διαθέσεις. ⁊ Ψιμυθίου δραχμὰς ιστ′. καδμείας δραχμὰς η′. ἰοῦ δραχμὰς β′. πεπέρεως λευκοῦ δραχμὰς β′. ὀμφακίου δραχμὰς β′. ὀπίου ‹ β′. κόμμεως δραχμὰς στ′. ὕδατι ὀμβρίῳ. ἡ χρῆσις δι᾽ ὕδατος.

Ἄλλο. οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁊ Καδμείας δραχμὰς ιστ′. ψιμυθίου δραχμὰς η′. πεπέρεως λευκοῦ δραχμὰς δ′. ἰοῦ δραχμὰς β′. ὀποβαλσάμου δραχμὰς β′. ὀμφακίου ‹ β′. κόμμεως δραχμὰς δ′. ὕδατι ὀμβρίῳ.

Κολλύριον κιρρὸν πάγχρηστον ἐπιγραφόμενον φάρμακον
12.784 ἐπιτετευγμένον πρὸς ψωρώδεις καὶ περιβεβρωμένους κανθοὺς καὶ

ἐπιτεταμένους κνησμοὺς καὶ βλέφαρα συκώδη. ⁊ Καδμείας ᾱ π′. χαλκίτεως κεκαυμένης ᾱ μ′. πεπέρεως λευκοῦ δραχμὰς μ′. κόμμεως ᾱ μ′. ὕδατι ὀμβρίῳ. ἐν ἄλλαις γραφαῖς ἐπίσης ἔχει τὰς συσταθμίας. ἄλλο. ⁊ καδμείας δραχμὰς π′. χαλκίτεως κεκαυμένης δραχμὰς μ′. πεπέρεως λευκοῦ δραχμὰς μ′. κρόκου δραχμὰς ιβ′. σμύρνης δραχμὰς ιβ′. κόμμεως ᾱ μ′. ὕδωρ ὄμβριον.

Τρύφωνος τὸ σφαιρικόν. ⁊ Καδμείας ᾱ μ′. λεπίδος χαλκοῦ ᾱ λβ′. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ᾱ λβ′. πεπέρεως λευκοῦ ᾱ λβ′. ὀπίου ᾱ η′. σμύρνης ᾱ η′. ὀποβαλσάμου ᾱ δ′. κόμμεως ᾱ λβ′. ὕδωρ ὄμβριον.

Κολλύριον Γάλλου ὀξυδερκικόν. ⁊ Καδμείας ᾱ μη′. χαλκίτεως κεκαυμένης ᾱ κδ′. πεπέρεως λευκοῦ ᾱ στ′. λεπίδος χαλκοῦ ᾱ η′. ὀπίου ᾱ στ′. ὀμφακίου ᾱ δ′. σμύρνης ᾱ β′. ὀποβαλσάμου ᾱ δ′. κόμμεως ᾱ ιβ′. πεπέρεως λευκοῦ κόκκους ι′. ὕδατος ὀμβρίου τὸ αὔταρκες.

12.785 Κολλύριον ἀρωματικὸν ἐπιγραφόμενον. ⁊ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς ιστ′. ἰοῦ δραχμὰς δ′. σμύρνης δραχμὰς δ′. ὀπίου δραχμὰς δ′. πεπέρεως λευκοῦ δραχμὰς δ′. νάρδου δραχμὰς β′. κρόκου δραχμὰς δ′. ὀποβαλσάμου δραχμὰς β′. κόμμεως ᾱ δ′. ὕδατι ὀμβρίῳ.

Ἡρακλείδου ἀρωματικὸν κροκῶδες δι᾽ αἱματίτου. ⁊ Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου δραχμὰς μη′. καδμείας δραχμὰς κδ′. κρόκου δραχμὰς κδ′. λίθου αἱματίτου δραχμὰς κδ′. ὀπίου δραχμὰς ιβ′. πεπέρεως λευκοῦ δραχμὰς ιβ′. κόμμεως ᾱ κδ′. οἴνῳ Φαλερίνῳ.

Κροκῶδες Ἀσκληπιὸς ὀξυδερκικόν. ⁊ Χαλκοῦ κεκαυμένου ᾱ μη′. κρόκου δραχμὰς ιβ′. ὀμφακίου δραχμὰς ᾱ δ′. ὀπίου ᾱ ιβ′. σμύρνης δραχμὰς β′. ὀποβαλσάμου ᾱ δ′. κόμμεως ᾱ ιβ′. πεπέρεως λευκοῦ κόκκους ι′. ὕδατος ὀμβρίου τὸ αὔταρκες.

Ἰσοχρύσου πρὸς βεβρωμένους κανθοὺς, ψωρώδεις διαθέσεις, χρονιζούσας ὀφθαλμίας, τραχώματα, συκώδεις ἐπαναστάσεις, οὐλὰς καὶ
12.786 τύλους ἀποσμήχει. ⁊ Καδμείας δραχμὰς στ′. λίθου αἱματίτου δραχμὰς ιστ′. σμύρνης δραχμὰς ιστ′. ὀπίου δραχμὰς ιστ′. κρόκου δραχμὰς κδ′.

πεπέρεως μακροῦ δραχμὰς ιβ′. πεπέρεως λευκοῦ δραχμὰς κδ′. κόμμεως ‹ ξδ′. οἴνου Ἰταλικοῦ τὸ αὔταρκες.

Κινναβάριον ἀξίου ὀφθαλμικοῦ Στόλου Βρεττανικοῦ πρὸς περιβεβρωμένους κανθοὺς, καχεκτικὰς ὀφθαλμίας, ἐπιτεταμένους κνησμοὺς, χρονίας διαθέσεις. ⁋ Ψωρικοῦ δραχμὰς κδ′. καδμείας δραχμὰς κδ′. κρόκου δραχμὰς ιστ′. πεπέρεως δραχμὰς ιστ′. κινναβάρεως δραχμὰς ιστ′. ὀπίου δραχμὰς ιβ′. κόμμεως δραχμὰς κδ′. ὕδωρ ὄμβριον. ἄλλο. ⁋ ψωρικοῦ ‹ κδ′. πεπέρεως δραχμὰς κδ′. καδμείας δραχμὰς κδ′. κρόκου δραχμὰς κδ′. σανδαράχης δραχμὰς η′. ὀπίου δραχμὰς η′. κινναβάρεως δραχμὰς η′. κόμμεως δραχμὰς η′. ὕδατι ὀμβρίῳ.

Μήλινον ἀτάραχον ἐπιγραφόμενον. ποιεῖ πρὸς πᾶσαν ἀμβλυωπίαν καὶ πρὸς παλαιὰς διαθέσεις, οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁋ Καδμείας δραχμὰς κδ′. ὀμφακίου δραχμὰς ιβ′. ἁλὸς ἀμμωνιακοῦ δραχμὰς δ′.
12.787 ἀμμωνιακοῦ θυμιάματος δραχμὰς ιβ′. ὀπίου δραχμὰς η′. κόμμεως ‹ κδ′. ψιμυθίου ‹ κδ′. κρόκου ‹ ιστ′. πεπέρεως λευκοῦ ‹ κδ′. ὕδωρ ὄμβριον.

Λουκίου καθηγητοῦ μήλινον, πρὸς ψωρώδεις καὶ περιβεβρωμένους κανθοὺς, ἐπιτεταμένους κνησμοὺς, καθύγρους ὀφθαλμούς. πρὸς πᾶσαν ἀμβλυωπίαν, οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁋ Ψιμυθίου δραχμὰς κδ′. κρόκου ‹ κδ′. ἀμμωνιακοῦ θυμιάματος ‹ στ′. ἁλὸς ἀμμωνιακοῦ ‹ στ′. νάρδου Ἰνδικῆς ‹ στ′. ὀπίου ‹ στ′. σμύρνης ‹ στ′. ὀμφακίου ‹ στ′. κόμμεως ‹ κδ′. ὕδατι ὀμβρίῳ.

Ἄλλο κολλύριον ὁ Πρωτεύς. ᾧ οὐδὲν ἴσον· ποιεῖ πρὸς ἀρχὰς ὑποχύσεως καὶ πρὸς πᾶσαν ἀμβλυωπίαν, οὐλὰς καὶ τύλους ἀποσμήχει. ⁋ Καδμείας δραχμὰς β′. χαλκίτεως ὠμῆς ‹ μ′. ψιμυθίου δραχμὰς μ′. πεπέρεως λευκοῦ ‹ λ′. ὀποῦ Κυρηναϊκοῦ δραχμὰς κ′. κρόκου ‹ ιστ′. ὀπίου δραχμὰς ιβ′. σαγαπηνοῦ δραχμὰς ιβ′. ἐλαίας δακρύου ‹ ιβ′. ἀρσενικοῦ δραχμὰς η′.
12.788 σμύρνης ‹ ιβ′. κόμμεως ‹ κ′. ὀποπάνακος ‹ κ′. ὀποβαλσάμου δραχμὰς ιβ′. σκεύαζε ὕδατι ὀμβρίῳ, ἡ χρῆσις μεθ’ ὕδατος.

Ὑγιεινοῦ τὸ χρυσοῦν, πρὸς βεβρωμένους κανθοὺς καὶ ψωρώδεις διαθέσεις. ⁋ Σανδαράχης δραχμὰς κδ′. πεπέρεως λευκοῦ κόκκους ιβ′. σμύρνης δραχμὰς στ′. κρόκου ‹ στ′. κόμμεως ‹ ιβ′. ὕδατι ὀμβρίῳ. ἄλλως

τὸ χρυσοῦν. ⁋ σανδαράχης ⟨ ιστ′. κρόκου δραχμὰς ιστ′. πεπέρεως ⟨ ιστ′. σμύρνης δραχμὰς δ′. κόμμεως δραχμὰς ιβ′. ἡ χρῆσις δεδήλωται. ἄλλως. ⁋ σανδαράχης ⟨ κδ′. πεπέρεως λευκοῦ δραχμὰς ιβ′. σμύρνης ⟨ στ′. κρόκου δραχμὰς στ′. κόμμεως ⟨ ιβ′. ὕδατι ὀμβρίῳ.

Εὐημέρου ψωρικόν. ποιεῖ πρὸς βεβρωμένους κανθοὺς καὶ ψωρώδεις οὐλὰς καὶ τύλους ἀποσμήχει, ποιεῖ καὶ πρὸς κεχρονισμένας διαθέσεις καὶ καχεκτικὰς ὀφθαλμίας καὶ τραχώματα. ⁋ Ψωρικοῦ δραχμὰς κδ′. κρόκου ⟨ ιβ′. ὀπίου, ψιμυθίου ἀνὰ δραχμὰς δ′. πεπέρεως λευκοῦ ⟨ δ′. ὀμφακίου ⟨ δ′. οἴνῳ Φαλερίνῳ ἀναλάμβανε. βασιλίδιον ψωρικόν. ⁋ ψωρικοῦ
12.789 δραχμὰς μη′. κρόκου ⟨ κδ′. ὀπίου δραχμὰς η′. λίθου Ἀσίου τοῦ ἄνθους δραχμὰς η′. ψιμυθίου ⟨ η′. πεπέρεως δραχμὰς στ′. ὀποβαλσάμου ⟨ δ′. ὀμφακίου δραχμὰς δ′. κόμμεως δραχμὰς ιστ′. οἴνῳ Φαλερίνῳ. πάγχρηστον Ἀθηνίπιον. ⁋ ψωρικοῦ δραχμὰς ξδ′. κρόκου ⟨ ιστ′. χαλκίτεως κεκαυμένης δραχμὰς ιστ′. σανδαράχης ⟨ κ′. σμύρνης δραχμὰς η′. πεπέρεως λευκοῦ δραχμὰς ιστ′. κασσίας σύριγγος δραχμὰς η′. μαλαβάθρου φύλλων ⟨ δ′. ὀπίου δραχμὰς στ′. ὀμφακίου δραχμὰς δ′. μίσυος κεκαυμένου δραχμὰς β′. κόμμεως δραχμὰς κδ′. ὕδατι ὀμβρίῳ.

Πτολεμαίου γνωρίμου φάρμακον ἐπιτετευγμένον πρὸς ψωρώδεις καὶ βεβρωμένους κανθοὺς, ἐπιτεταμένους κνησμοὺς, μιλφώσεις, ἀμβλυωπίας. ⁋ Ψωρικοῦ ⟨ ξ′. σανδαράχης δραχμὰς λ′. χαλκίτεως κεκαυμένης ⟨ κδ′. κρόκου ⟨ κδ′. σμύρνης ⟨ ιβ′. ὀπίου ⟨ β′. κασσίας σύριγγος δραχμὰς ιβ′. πεπέρεως ⟨ δ′. πεπέρεως λευκοῦ ⟨ ζ′. ὀμφακίου δραχμὰς στ′. μίσυος κεκαυμένου ⟨ γ′. μαλαβάθρου φύλλων ⟨ α′. κόμμεως ⟨ λστ′. ὕδωρ ὄμβριον.

12.790 Κολλύριον μαλαβάθρου ὀξυδερκικὸν, πρὸς περιβεβρωμένους κανθούς. ⁋ Στίμμεως δραχμὰς κδ′. ἀκακίας ⟨ κδ′. πεπέρεως λευκοῦ δραχμὰς κδ′. νάρδου Ἰνδικῆς ⟨ ιβ′. ὀπίου ⟨ στ′. κρόκου δραχμὰς στ′. σμύρνης ⟨ στ′. ὀμφακίου δραχμὰς στ′. κόμμεως δραχμὰς λστ′. ὕδατι ὀμβρίῳ. ἄλλο. ⁋ στίμμεως κεκαυμένου καὶ πεπλυμένου δραχμὰς μ′. ἀκακίας ⟨ μστ′. νάρδου Κελτικῆς δραχμὰς στ′. σμύρνης ⟨ η′. κρόκου ⟨ η′. ὀμφακίου δραχμὰς στ′. ὀπίου ⟨ στ′. καδμείας δραχμὰς λστ′. κόμμεως δραχμὰς λβ′. ὕδωρ ὄμβριον.

Τὰ ὑπ᾽ Ἀρχιγένους ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων γεγραμμένα πρὸς ὀφθαλμοὺς πάσχοντας βοηθήματα. Ἐπὶ δὲ τῶν περὶ τοὺς ὀφθαλμοὺς ῥευματισμῶν ἐν ἀρχῇ μὲν ἁρμόζει ὀλιγοσιτία, ὀλιγοποσία, ὑδροποσία καὶ πάντων μᾶλλον συνουσίας ἀποχὴ, ἥ τε κοιλία ὑποσυρέσθω καὶ πολλῷ ψυχρῷ τὸ πρῶτον, εἶτα καὶ ὀλίγου μιγέντος ὄξους, συνεχῶς τὸ πρόσωπον προσκλυζέσθωσαν. ἔνιοι δὲ χάλκανθον ὕδατι διιέντες διδόασι προσκλύζεσθαι περικαμπτέτωσαν ὀσμὰς δριμείας
12.791 καὶ κονιορτοὺς καπνόν τε καὶ τὴν ἀπὸ τοῦ ἡλίου καὶ λύχνων αὐγὴν, εἰς νύκτα δὲ ἔρια καθαρὰ ἐξ οἴνου ἢ ῥυπαρὰ ἐξ ὕδατος ψυχροῦ ἐπιτιθέτωσαν, ἕωθέν τε, ὡς εἴρηται, προσκλυζέσθωσαν. εἰ δ᾽ ἐπιτείνοιτο ὁ ῥευματισμὸς καὶ ἀλγηδὼν ἐπιγένοιτο, φλεβοτομία τε ἁρμόδιος καὶ τελέως ἀσιτία καὶ δίψα, εἰ μὴ ἐκκαίοιτο καὶ ἐπιτείνοιτο, κοιλίας εὔτονος λύσις ἤτοι διὰ συμφώνου καθαρτικοῦ ἢ διὰ κλυστήρων εὐτόνων. μετὰ ταῦτα δὲ κατὰ τοῦ μετώπου ἀμπέλου φύλλα χλωρὰ συνεχῶς ἐπιτιθέμενα βοηθεῖ. ἢ μυρσίνης ἢ σχίνου ἢ βάτου χύλισμα ἢ κράμβης ἢ ἀμπέλου φύλλα, μετὰ πάλης ἀλφίτου. ἢ κυπάρισσος, σάμψυχον, ὤκιμον, σισύμβριον, οἰνάνθη, κρόκος ἥμερος, ἄγριος, ἀνδράχνη καὶ ῥοᾶς κύτινοι, ἄγνος, μήλου κυδωνίου τὰ ἁπαλὰ τῶν φύλλων, ἕκαστον μετὰ οἴνου καὶ πάλης ἀλφίτων. κατ᾽ αὐτῶν δὲ τῶν ὀφθαλμῶν ἔριον καθαρὸν, ὠοῦ τῷ λευκῷ διάβροχον ἢ ὠοῦ λέκυθον ὀπτοῦ ἢ μελίλωτον ἐν γλυκεῖ καθεψημένον, ἢ ἀσφοδέλου ῥίζαν μετ᾽ οἴνου καὶ πάλης ἀλφίτων, ἢ ἴριν κεκομμένην μετ᾽
12.792 οἴνου καὶ πάλης ἀλφίτων ἢ ῥοᾶς χυλὸν μετὰ πάλης ἀλφίτων καὶ αὐτὴν καθεψημένην ἐν οἴνῳ ἀθαλάσσῳ. ἢ ἀρκευθίδες λεῖαι μετ᾽ οἴνου καὶ πάλης ἀλφίτων ἐπὶ τὸ μέτωπον ἐπιπλαττόμεναι καὶ ἐπ᾽ αὐτοὺς ἐπιτιθέμεναι τοὺς ὀφθαλμούς. πρὸς δὲ τούτοις ἠρυγγίου καὶ ἱππομαράθρου ῥίζαν λείαν μεθ᾽ ὕδατος καὶ κωνείου σπέρμα τὸν αὐτὸν σκευαζόμενον τρόπον ὠφελεῖ. τυρὸς ἁπαλὸς νεαλὴς μετὰ σελίνου φύλλων καταπλασσόμενος. ἢ μήκων ἀγρία ἐν γλυκεῖ ἑψηθεῖσα καὶ λεία καταπλασθεῖσα. ὁμοίως καὶ μελίλωτον ἑψηθὲν ἐν γλυκεῖ, ὀλίγον μιγέντος κρόκου καὶ ὀποῦ μήκωνος. ἢ ἄρτος ἐξ οἴνου, ῥοδίνῳ φυραθεὶς, ὠφελεῖ θαυμαστῶς. ἢ τριβόλῳ ἁπαλῷ κατάπλασσε, καθ᾽ ἑαυτὸν ἢ καὶ μιγεὶς ἀλφίτῳ θαυμαστῶς ποιεῖ. καὶ καθόλου πᾶν τὸ τῶν στυφόντων γένος καὶ ἀποκρουόμενον ἐν ἀρχαῖς, οἷά ἐστι κώνειόν τε καὶ ψύλλιον,

σέλινον, στρύχνον, οἱ ἐπὶ τῶν τελμάτων φακοὶ, φύλλα ἀμπέλου, κόριον, ἀνδράχνη, φακὸς ὁ ἐπὶ τοῦ ὕδατος, ἀείζωον, μήκωνος φύλλα, ἀκαλήφη. τούτων ἕκαστον λεαίνων μετ᾽ οἴνου κατάπλασσε, τὸ δὲ ψύλλιον μεθ᾽ ὕδατος καὶ τὸν ἀπὸ τῶν τελμάτων φακόν.

12.793 Πρὸς θερμὸν ῥεῦμα. Κράμβην λείαν μετὰ πάλης ἀλφίτου σὺν ὕδατι κατάπλασσε. ἢ ὠκίμου φύλλοις ὁμοίως. ἢ πηγάνου φύλλοις μετὰ στέατος χηνείου, ἢ σαμψύχου πέταλα, ἢ καὶ ἁλικάκαβον λείαν κατάπλασσε. ἵστησι δὲ πολὺ ῥεῦμα κωδύα καὶ ὑοσκύαμος μετὰ ἀλφίτου πάλης σὺν οἴνῳ. προπυρία δὲ καὶ οὕτω κατάπλασσε, μετὰ δὲ τοῦτο τὴν ἀκμὴν παραλλάξαι, καὶ ὅ τε καιρὸς οὐκέτι ἐστὶ τῶν στυφόντων χρήσαιτο ἄν τις τῶν τε ὀφθαλμῶν καὶ τῆς κεφαλῆς πυρίᾳ. μεγάλως δὲ ὠφελεῖ, λύει τε τὰς φλεγμονὰς καὶ εἴ τις διάστασις εἴη, ὀθόνιον ἁπαλὸν βουτύρῳ βρεχόμενον καὶ ἐπιβαλλόμενον τοῖς ὀφθαλμοῖς.

Περὶ χυμώσεως. Ἐφ᾽ ὧν δὲ χύμωσις ἰσχυρὰ γένοιτο, λαβὼν ὠοῦ λέκιθον σάρκα μυίας προσεκλέανον, εἶτα ὅταν κηροτοειδὲς γένηται, εἰς ῥάκος ἐπιτίθει, παραχρῆμα παύει.

Περίχριστον ὀφθαλμῶν. Ἄρτος καθαρὸς κεκαυμένος μιγεὶς ἀκακίᾳ καὶ κιττῷ σὺν ὕδατι. πρὸς δὲ τὰς περιωδυνίας ῥόδα χλωρὰ ἢ ξηρὰ βρέξας ἐν
12.794 γλυκεῖ λέαινε καὶ μίξας ὠοῦ ὀπτοῦ τὴν λέκιθον καὶ κρόκου τὸ αὔταρκες ἐν γλυκεῖ. ἢ ὠμῇ λύσει κριθίνῃ ἢ πυρίνῃ ἐν γλυκεῖ ἐψημένῃ. ἐὰν δὲ πλείων ἡ ὀδύνη εἴη, πρόσμιγε μήκωνος ἁπαλῆς φύλλα, ἢ τὰ κελύφη τῶν κωδυῶν, ἢ ὑοσκυάμου φύλλα, ὅσον ὁλκὰς τέσσαρας σὺν λεκίθῳ ὠοῦ. ἢ σισύμβριον ἐψήσας ἐν ὕδατι λέανον, παραχέων οἴνου τὸ αὔταρκες καὶ κατάπλασσε. ἢ μήκωνος λευκῆς κωδύας ἐψήσας ἐν γλυκεῖ καὶ λεάνας κατάπλασσε. ἢ σελίνου ἁπαλῇ κόμῃ ἢ γλήχωνι ἁπαλῇ ὁμοίως. ἢ πέπονος ἢ σικύου τῇ σαρκί. ἢ λέκιθον ὠοῦ ὀπτοῦ καὶ ὀλίγον κρόκου λεάνας σὺν οἴνῳ ὀλίγῳ κατάπλασσε. ἐν δὲ ταῖς φλεγμοναῖς τοὺς ἀλγοῦντας ὀφθαλμοὺς πάνακι μετὰ γλήχωνος σὺν οἴνῳ φυρῶν κατάπλασσε. καλῶς ποιεῖ πίτυος φλοιὸς καὶ ἄλφιτα σὺν οἴνῳ. ἢ ὑοσκυάμου φύλλα καὶ ὄπιον τρίψας κατάπλασσε. ἢ τῆς μήκωνος τὰ κελύφη λεάνας καὶ ῥόδα καὶ μελίλωτα καὶ σμύρνης μικρὸν μίξας καὶ διεὶς ὠοῦ τῷ λευκῷ, οὕτω κατάπλασσε ἢ ἀλόην καὶ ὄπιον, σὺν ὕδατι εἰς ῥάκος ἀναλαβὼν

κατάπλασσε, φυλάσσου δὲ μὴ παρενστάζῃς εἰς τὸν ὀφθαλμόν. ἐπὶ δὲ τῶν
12.795 περιωδυνώντων κρόκον καλὸν μετὰ γάλακτος λαβὼν ἔνσταζε. πρὸς δὲ τὰς σφοδρὰς περιωδυνίας, κορίου χυλὸς μετὰ γυναικείου γάλακτος, εἰς τοὺς ὀφθαλμοὺς ἐνσταζόμενος, ὁμοίως δὲ μήκωνος ὀπὸς ὀπτός. φύλλα πλατάνου λεῖα μετὰ πάλης ἀλφίτων ἄνωθεν ἐπὶ τοὺς ὀφθαλμοὺς ἐπιπλαττόμενα. ἐπὶ δὲ τῶν ῥευμάτων καταπλάσματα. κυπάρισσος χλωρὰ μετ᾽ οἴνου ἢ παλιούρου φύλλα ἢ ἀνδράχνη λεία μετὰ στέατος χηνείου καὶ κρόκου. ἢ ἶρις ξηρὰ μετὰ μέλιτος. ἢ μάνναν καὶ σμύρναν μετὰ ὠοῦ τοῦ λευκοῦ, ἐν ἐρίῳ ἐπιτίθει τῷ μετώπῳ. κατάπλασσε δὲ σελίνῳ μετὰ ἀλφίτων. ἢ σεσέλεως ἄνθη οἴνῳ βεβρεγμένα. ἢ μήκωνος ἁπαλοῖς φύλλοις. εἰ δὲ ἀγρυπνοῖεν, μανδραγόρου ῥίζαν καὶ ὀπὸν, μήκωνος φύλλα καὶ ἀλφίτων ἴσα ὡς μᾶζαν ποιήσας ὄσφραινε καὶ ὑπνώσονται. ἐπὶ δὲ τῶν μεγάλων ῥευμάτων γλήχωνος προσφάτου καρπὸν, μάλιστα τὸν χυλὸν εὖ μάλα σὺν ὄξει μαλαγματῶδες ποιήσας, ἐπιτίθει κατὰ τοῦ βρέγματος ἐπάνω ἔρια καὶ ἐπιδέσμει ἐλαφρῶς, ἔνιοι δὲ καὶ μήκωνος
12.796 ἁπαλῆς προσμίσγουσιν αὐτῷ. ἢ ὀπίου ἐλάχιστον ἢ ῥόδα καὶ μελίλωτα ἑφθά. ἢ ἄμυλον σὺν οἴνῳ, ὠοῦ λευκῷ αὐτοὺς τοὺς ὀφθαλμοὺς κατάπλασσε. ἄκρως ποιεῖ πρὸς πολὺ καὶ λεπτὸν καὶ παλαιὸν ῥεῦμα καὶ ἕλκη. πομφόλυγος ⋖ δ΄. ὀπίου πεφωγμένου γ΄. τριώβολα, κόμμεως ⋖ δ΄. ὕδωρ ὄμβριον ἢ πηγαῖον. παράκολλον πρὸς ῥεῦμα. σεμίδαλιν καὶ μάννης ἥμισυ μετ᾽ ὠοῦ τοῦ λευκοῦ ἐμπλαστρῶδες ποιῶν, ἐν ἀρχῇ ῥάκει ἐπιτίθει τῷ μετώπῳ. ἢ ὠοῦ λεπτοῦ λέκιθον μετὰ λιβανωτοῦ. ἢ κοχλίαν σὺν τῷ ὀστράκῳ, μετὰ ὠοῦ τοῦ λευκοῦ γλοιῶδες ποιήσας ἐν σπληνίῳ ἀπὸ κροτάφου, ἐπὶ κρόταφον ἐπιτίθει, αὐτόματον πίπτει ὅταν ῥεῦμα στῇ, ἢ τοῦ μόσχου μαλάγματος ἢ γῆς βαρβάρου ἢ χλωρᾶς ἢ ἄλλης τραυματικῆς τῶν δι᾽ ὄξους, σπληνίον ἐπιτίθει τῷ μετώπῳ.

Πρὸς αἱμάλωπας καὶ ὑποσφάγματα. Πρὸς δὲ τὰς εἰς τοὺς ὀφθαλμοὺς γινομένας πληγὰς καὶ διὰ τοῦτο συμβαινούσας αἱματώδεις ὑποχύσεις, εὐθὺς ἐν ἀρχῇ πρὸς τὰς φλεγμονὰς καὶ τὸ ἄλγημα ποιεῖ περιστερᾶς ἐνσταζόμενον αἷμα καὶ μάλιστα τὸ ἐκ τῶν ἁπαλῶν πτερῶν ἐκπιεζόμενον
12.797 καὶ τὸ λευκὸν τοῦ ὠοῦ τὸν αὐτὸν τρόπον ποιεῖ εἰς τὸν ὀφθαλμὸν ἐγχεόμενον. ἔτι δὲ ἐρίῳ καθαρῷ προσαναλαμβανόμενον καὶ ἄνωθεν ἐπιτιθέμενον. εὐθετεῖ δὲ καὶ λέκιθος ὠοῦ κατωπτημένου, μετ᾽ οἴνου

καταπλασσομένη ἢ μελίλωτον ἐψόμενον οἴνῳ τὸν αὐτὸν τρόπον ἐπιτιθέμενον. ἔτι δὲ ῥόδων τὰ φύλλα καὶ τὸ ἄνθος ἰδίᾳ καὶ ὁμοῦ μετ᾽ οἴνου τριβόμενα καὶ μετὰ πάλης ἀλφίτων ἢ κράμβης φύλλα καταπλασσόμενα. χρονισάντων δὲ, ἂν ἐπιμένῃ ὁ αἱμάλωψ, λιβανωτὸν ἄσφαλτον ἴσα μίξας ὑποθυμία τὸν ὀφθαλμὸν, ἢ ὑσσώπου κόμην λείαν βαλὼν εἰς λινοῦν ῥάκος, καθεὶς εἰς ζέον ὕδωρ πρόσαγε τῷ ὀφθαλμῷ. ἀκολουθεῖ γὰρ τὸ αἷμα, ὥστε ἐκ τοῦ ὀθονίου ἐκπιέζεσθαι ἐκθλιβόμενον. ἢ νίτρον καὶ γῆν Αἰθιοπικὴν, σμύρναν ἴσα σὺν ὕδατι ἔγχριε, ἢ ἐλαίας φύλλων χυλὸν χλωρῶν ὑπόχριε, ἢ ἄμμι καὶ ὕσσωπον μετὰ γάλακτος βοείου λείου εἴλισσον καὶ ὑπάλειφε, ἢ λινόσπερμα λεῖον μετὰ βουτύρου ἐκθλίψας δι᾽ ὀθονίου ὑπάλειφε, τὴν δὲ κεφαλὴν ψυχρῷ κατάντλει.

Θεραπεία οἰδημάτων. Πρὸς δὲ τὰ γινόμενα περὶ τοὺς ὀφθαλμοὺς
12.798 οἰδήματα διὰ τὰς πληγὰς λίαν ἁρμόττει πυρία μαλακῷ σπόγγῳ συνεχῶς γινομένη, εἶτα ὄξει βρεχόμενος κεκραμένῳ καλῶς ὁ σπόγγος καὶ ἐπιτιθέμενος. ἔτι δὲ παλαιὸν νᾶπυ τριβόμενον μεθ᾽ ὕδατος καὶ περιτιθέμενον συνεχῶς καὶ ἀφαιρούμενον. ὁμοίως δὲ κάρδαμον κατὰ τὴν ἀφαίρεσιν, πυριωμένων ὕδατι θερμῷ συνεχῶς τῶν τόπων.

Πρὸς ψωροφθάλμους. Πρὸς δὲ τὰς περὶ τοὺς ὀφθαλμοὺς διὰ τὸν ἥλιον καὶ κονιορτὸν, ὡς ἐπίπαν ψωροφθαλμίας καὶ ξηροφθαλμίας, ὕδωρ πλεῖον προσκλυζόμενον, θέρους μὲν ψυχρὸν, χειμῶνος δὲ θερμὸν, ἁρμόζει καὶ πυρία σπόγγου ἐκ θερμοῦ ὕδατος ἢ φακοῦ ἀφεψήματος, αὐτοῖς δὲ πρόσαγε τοῖς κανθοῖς, βάτου, σχίνου, μυρσίνης, ῥόδων χυλὸν κατ᾽ ἰδίαν ἕκαστον σὺν ὕδατι. ἢ ῥόδα ξηρὰ τριβόμενα σὺν οἴνῳ, ἢ τὸ ἄνθος αὐτῶν, ἢ οἶνον ἀθάλασσον καὶ παλαιὸν ἔλαιον, καὶ μάλιστα ὅταν κοιμᾶσθαι θέλωσι. συμφέρει δὲ καὶ ἐπὶ τούτων τῶν ἁλμυρῶν δριμέων, ἔτι δὲ καὶ ὀξέων ἀπέχεσθαι πάντων. καὶ πρὸς δὲ τὰς χρονίους περὶ τὰ βλέφαρα διαθέσεις καὶ τετυλωμένας ἀμόργην ἐφθὴν μετ᾽ ἐλαίου ἔγχριε τριβομένην.

12.799 Πρὸς πτίλους. Ἐπὶ δὲ τῶν πτίλων καὶ τρίχας μὴ ἐχόντων ἄκρως ποιεῖ καὶ τρίχας ἀνάγει. ℞ ἀκακίας ʃ β′. μέλανος γραφικοῦ ξηροῦ, ἢ εἰ οἷόν τε Μεμφιτικοῦ ʃ ε′. χυλοῦ πράσου κοτύλας δ′. οἴνου ἀθαλάσσου κοτύλας δ′. ἕψε μέχρις ἂν γλοιῶδες γένηται καὶ εἰς πυξίδα ἀνελόμενος χρῶ, ἢ

μυόχοδα καὶ κόπρον αἰγείαν κεκαυμένην ἴσον, καλάμου Ἑλληνικοῦ τῆς τέφρας τὸ διπλοῦν σὺν μέλιτι Ἀττικῷ ἔγχριε. τοῦτο δὲ μίλφους ὠφελεῖ, ἰοῦ λείου μέρος α΄. ἀμμωνιακοῦ θυμιάματος τὸ ἴσον, λείοις προσάπτου, τοῦτο ποιεῖ ἄκρως καὶ ψωροφθαλμιῶσιν. ἢ καδμείαν λείαν μέλιτι φυράσας, ὄπτησον ἐν χυτριδίῳ, εἶτα χαλκοῦ κεκαυμένου τὸ ἴσον μίξας λείοις χρῶ.

Περὶ τριχιάσεως. Τὰς δὲ ἐπιφυομένας ἐπὶ τῶν βλεφάρων τρίχας τίλλων, αἵματι κόρεως κατάχριε καὶ οὐ φυήσονται. Παπίας Λαοδικεὺς Αὐτολύκου ἰατρὸς πολλὰ ᾔρεῖτο ἐπὶ τῶν τριχιώντων, τίλλων τὰς τρίχας, εἶτα δρωπακίζων τὸν τόπον ἐπιμελῶς, χαμαιλέοντί τε λευκῷ λείῳ
12.800 πεφυραμένῳ αἵματι βρατράχων χλωρῶν, οἳ ἐπὶ τῶν καλάμων γίνονται, καταχρίων, οὐ γὰρ ἐπιφύονται. ἢ τίλας τὰς τρίχας κατάχριε κεδρίαν μετὰ τελλινῶν ὀστράκων λεπτῶν λεάνας, ἢ ὀρνέου τοῦ λεγομένου κιναίδου χολῇ χρῶ, ἢ φάγρου θαλασσίου χολῇ. ἢ κρότωνος ἀπὸ κυνὸς θηλείας αἵματι. ἄκρως ποιεῖ τοῦτο. ἐχίνου χερσαίου χολὴ καὶ τοῦ αἵματος τὰ ἴσα. χαμαιλέοντος χολῆς ἴσον, καστορίου τὸ σύμμετρον ἀνάπλασσε, ὡς λεπίδας ὀψαρίου, χρῶ δὲ ἐκ ῥιζῶν τίλλων τὰς τρίχας, εἶτα λεπίδα μίαν τῷ ἐκ τοῦ στόματος σιάλῳ νήστης διαλύων κατάχριε καὶ κράτει τὸν τόπον, ὡς ἡμιώριον ἀλγοῦσι μὲν, ἀλλ᾽ οὐκ ἔτι φυήσονται. ἢ χολὴν ὑαίνης θηλείας τίλλων εὐθέως κατάχριε. ἢ τελλίναις λειοτάταις κατάχριε. ἢ τίλας φύλλον κωνείου, κεδρίαν ἴσα μετὰ νυκτερίδος αἵματος κατάχριε καὶ κράτει ἕως ξηρανθῇ. ἐὰν γὰρ θίγῃ τοῦτο τοῦ ὀφθαλμοῦ τὸ ὑγρὸν, ἀδικεῖ. ἢ τίλας αἰγείᾳ χολῇ μετὰ κράμβης χυλοῦ κατάχριε. ἢ
12.801 καπνοῦ τῆς βοτάνης χρῖε τὸν ταρσὸν, εἶτα τίλας τὰς τρίχας πάλιν ἐπίχριε. ἔλεγε δὲ Ἑρμείας, ἀφρὸν ὕδατος καταχριόμενον μετὰ τοῦ δρωπακισθῆναι ἄκρως ποιεῖν.

Περὶ σταφυλωμάτων καὶ λευκωμάτων. Σταφυλώματα αἴρεις, κανθαρίδων χυλὸν ἐναλείφων, λευκώματα δὲ ταχέως ἰᾶται νίτρον μετ᾽ ἐλαίου παλαιοῦ λεανθὲν ἐπιμελῶς καὶ χριόμενον, ἢ σαύρας ἀφόδευμα ἔγχριε καὶ αἴρεις, ἢ νυκτικόρακος ᾠῷ ἔγχριε καὶ βάψεις αὐτὰ, ἢ κρόκον, πέπερι, ἴσα μετ᾽ αἰλούρου χολῆς κολλύρια ποιῶν ἔγχριε, ἢ σηπίας ὄστρακον λεῖον, φυράσας μετὰ μέλιτος κατάκαυσον καὶ λείῳ ὑπάλειφε.

Θεραπεία ἀμαυρώσεως καὶ ὑποχύσεως. Ἀμαύρωσιν πᾶσαν ἢ ἀρχομένην ὑπόχυσιν θεραπεύει γυπὸς χολὴ μετὰ πρασίου χυλοῦ καὶ μέλιτος Ἀττικοῦ, ἢ σμύρνης καὶ πεπέρεως ἴσα σὺν μέλιτι, ἢ στρύχνῳ μέλανι ἔγχριε. ποιεῖ καὶ κύπρος ἀποτεθεῖσα ἐν χαλκῷ πυξιδίῳ, ἢ μαράθρου χυλὸν καὶ χολὴν ταυρείαν ὑγρὰν ἴσα, μέλιτος Ἀττικοῦ τὸ διπλοῦν ἔγχριε,
12.802 ἢ κρόκου καὶ πεπέρεως ἴσα μετὰ χολῆς ταυρείας ἀναλαβὼν, ὡς κολλύρια ποιῶν ἔγχριε, ἢ αἰγείρου ὀπῷ μετὰ διπλοῦ μέλιτος Ἀττικοῦ ἔγχριε.

Περὶ ὑποχυμάτων. ϗ Χελώνης θαλασσίας τῆς χολῆς μέρος α ′ . μέλιτος Ἀττικοῦ τὸ τετράπλουν ἔγχριε. ἡ χολὴ ἀρκεῖ μεθ᾽ ὕδατος.

Πρὸς πτερύγια. Ἐπὶ δὲ τῶν πτερυγίων ϗ χαλκάνθου, ἁλὸς ἀμμωνιακοῦ ἴσα, κόμμεως τὸ ἥμισυ, ὄξει ἀναπλάσας κολλύρια ἔγχριε, ἢ αἰγείρου ὀπῷ μετὰ διπλοῦ μέλιτος ἔγχριε λείῳ.

Πρὸς γλαυκοὺς καὶ νυκτάλωτας. Πρὸς γλαυκοὺς στρύχνου χυλὸς ἐγχυματιζόμενος μέλανας ὀφθαλμοὺς ποιεῖ. καὶ ἀνάπαλιν ἐπὶ τῶν νυκταλωπιώντων, ἦπαρ τράγειον ὀπτήσας, αὐτὸν τὸν ἐν τῇ ὀπτήσει ἀπορρέοντα ἰχῶρα διάκρινε, καὶ οὕτω μὲν ἔγχριε αὐτοὺς, αὐτὸ δὲ τὸ ἦπαρ ἐσθίειν δίδου. ὠφελεῖ καὶ αἷμα περιστερᾶς ἐγχριόμενον ἢ χολὴ αἰγεία. ἢ ἦπαρ αἴγειον ἕψων, κέλευε αὐτοὺς περικαλυψαμένους ἀτενίζειν εἰς τὴν χύτραν καὶ δέχεσθαι τὴν ἀτμῖδα τοῖς ὀφθαλμοῖς, ἐξ
12.803 αὐτοῦ δὲ τοῦ ἥπατος ἐσθίειν δίδου συνεχῶς, τοῦτο ποίει καὶ ὠφεληθήσονται ταχέως. ἢ ἐλατηρίου ὀβολὸν καὶ ἀνδράχνης σπέρματος ‹ α ′ . σὺν μέλιτι ἔγχριε, ἢ ὀνίδα πρόσφατον χυλίσας ὑπάλειφε, τρωγέτω δὲ σεῦτλον· ἢ γυπὸς ἦπαρ ὀπτὸν ἢ τῇ χολῇ ἐγχριέσθω.

Πρὸς κριθὰς, ἃς καὶ ποσθίας καλοῦσιν. Τὰς γινομένας κριθὰς ἐπὶ τῶν βλεφάρων, κηρῷ πυριάσας λευκῷ διαφορήσεις, ἢ μυίας τὴν κεφαλὴν ἀποβαλὼν, τῷ λοιπῷ σώματι παράτριβε τὴν κριθήν.